UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Scholia in Sophoclis tragoedias vetera

### Sophocles

### Lipsiae, 1888

Εἰ̇ς Φιλοκτήτην

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5413

Visual Library

## ΕΙΣ ΦΙΛΟΚΤΗΤΗΝ.

Fol. 80 a 1 *καὶ παρὰ τούτῳ προλογίζει Ὀδυσσεὺς καθὰ καὶ παρ' Εὐριπίδῃ, ἐκεῖνο μέντοι διαφέρει παρ' ὅσον ὁ μὲν Εὐριπίδης πάντα τῷ Ὀδυσσεῖ περιτίθησιν οὗτος δὲ τὸν Νεοπτόλεμον παρεισάγων διὰ τούτου οἰκονομεῖται.*

*ἀκτὴ] διὰ τὸ εἶναι αὐτὴν νῆσον.*

2 *Λήμνου, βροτοῖς ἄστιπτος: ἐν ἐρήμῳ γὰρ μέρει τῆς Λήμνου ἐξετέθη ὑπὸ τῶν Ἑλλήνων· ἄστιπτος δὲ ἀπάτητος, ἀδιόδευτος· ἐν ἐρήμῳ γὰρ τόπῳ τῆς νήσου ἦν ἐκτεθείς.*

3 *ἔνθ', ὦ κρατίστου: τραφεὶς ἐκ πατρὸς Ἑλλήνων κρατίστου· λείπει οὖν ἡ ἐξ· τὸ δὲ ἑξῆς, ἔνθα ποτὲ ἐγὼ ἐξέθηκα τὸν Μηλιᾶ Ποίαντος υἱόν, ὦ Νεοπτόλεμε παῖ Ἀχιλλέως.*

4 *τὸν Μηλιᾶ: τὸν Θεσσαλόν, ἀπὸ πόλεως· Ἀττικὸν δὲ τὸ Μηλιᾶ.*

7 *διαβόρῳ: τὴν τὸν πόδα ἐσθιούσῃ, σηπτικῇ, τῇ διαβιβρωσκούσῃ, τῇ καλουμένῃ φαγεδαίνῃ· πάθος δὲ τοῦτό ἐστιν οὕτω λεγόμενον παρὰ τοῖς ἰατροῖς· καταστάζοντα δὲ οἷον καταρρέοντα, τηκόμενον, λυόμενον.*

12 *ἀκμὴ] ἀντὶ τοῦ καιρός.*

---

3 *Εὐριπίδης*] fr. 785.

13 κἀκχέω τὸ πᾶν: ταράξω· ἀπὸ μεταφορᾶς τῶν ἀμελγόντων.

17 ἵν' ἐν ψύχει μὲν ἡλίου: ἐν κρύει μὲν πάρεστι θερμαίνεσθαι τῆς ἀκτῖνος ἑκατέρωθεν βαλλούσης, οὐκ ἐν ταὐτῷ ἀλλ' ὅτε μὲν κατὰ τὸ ἀνατολικὸν μέρος ἐλαύνει ὁ ἥλιος διὰ τοῦ ἀνατολικοῦ στόματος ὅτε δὲ εἰς τὸ δυτικὸν ὁμοίως, ἐν δὲ θέρει τῆς πνοῆς ἀπολαύειν.

ἐν ψύχει] ἐν χειμῶνι.

διπλῆ | πάρεστιν ἐνθάκησις: διπλῆ καθέδρα πρὸς ἡλίου θερμαινομένη.

19 ἀμφιτρῆτος] τοῦ ἀμφοτέρωθεν τετρημένου.

21 σῶν] σῷον, ὑγιές.

22 σῖγα] ἀντὶ τοῦ σιωπῇ.

25 κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ: πονοῖτο, διανύοιτο, προβαίνοι· ἢ εἴη· οἱ κωμικοὶ γὰρ τῇ ει διφθόγγῳ χρῶνται ἀντὶ βραχείας.

26 τοὖργον οὐ μακρὰν λέγεις: οὐ μακροῦ πόνου δεόμενον· ἤδη γὰρ εἰσεῖδον ἄντρον ὃ λέγεις.

28 ἄνωθεν ἢ κάτωθεν] ταπεινὸν ἢ ὑψηλόν.

29 στίβου] περιπάτου.

32 οἰκοποιὸς] ἐν οἴκῳ γενομένη τροφή.

33 στιπτή γε φυλλὰς] χαμαιστρωσία ἐκ φύλλων.

ἡπλωμένη καὶ πατουμένη ὡς κοιμωμένου ἐπ' αὐτῇ τινος.

34 ὑπόστεγον] ὑπὸ τῇ στέγῃ.

35 αὐτόξυλόν γ' ἔκπωμα] ποτήριον μονόξυλον,

---

4 τῆς ἀκτῖνος] τοῦ ἡλίου addit l. — 15 ἴῃ] εἴη (ut in textu) L, corr. Camerarius. διανοοῖτο L, corr. Br. — 16 κωμικοὶ] τραγικοὶ Lasc. — 24 πατουμένη] ο ex ρ.

τέχνημα ἀνδρὸς φαύλως ἐργαζομένου ὅ ἐστιν ἰδιώτου καὶ οὐ τεχνίτου.

36 πυρεῖ'] πυροβόλα.

37 θησαύρισμα] ἀπόθετον κτῆμα.

38 δρᾷ τὰ ῥάκη τοῦ τραύματος τοῦ Φιλοκτήτου ξηραινόμενα καὶ ἐκπλήττεται ὡς βαρέως αὐτοῦ νοσοῦντος.

39 βαρείας του νοσηλείας: νόσου βαρείας πεπληρωμένα ἢ νοσοκομίας ἢ τῆς ἐκ νόσου ἀκαθαρσίας.

42 κῶλον] τὸν πόδα.

F κηρὶ] νόσῳ.

43 νόστον] ὁδόν.

Fol. 80 b 44 φύλλον εἴ τι νώδυνον] βοτάνην τινὰ πανσώδυνον.

45 τὸν οὖν παρόντα] ὥς τινος παρισταμένου αὐτῷ.

46 προσπεσὼν] ἀπαντήσας, ἐπιπεσών.

48 ἀπέρχεται, φησίν, ὁ θεράπων εἰς κατασκοπήν.

φυλάξεται στίβος] φυλαχθήσεται παρ' ἡμῶν ἡ ὁδὸς αὐτοῦ.

55 ἐκκλέψῃς] ἀπατήσῃς.

57 τόδ' οὐχὶ κλεπτέον] τοῦτο γὰρ οὐχὶ ψευσόμεθα.

59 οἱ γὰρ ἐξ ἑνὸς ἠδικημένοι φιλοῦσιν ἀλλήλους.

60 στείλαντες] καλέσαντες.

61 τήνδ' ἅλωσιν] τὸ σὲ ἐλθεῖν εἰς Ἴλιον.

62 οὐκ ἠξίωσαν] οὐκ ἄξιον ἡγήσαντο.

63 ἐλθόντι δοῦναι] λείπει σοι.

65 ἔσχατ' ἐσχάτων] αἴσχρότατα.

68 προτρεπτικῶς εἰς <μὲν> τὴν συμμαχίαν οὐ τὸν ἄνδρα ἀλλὰ ψιλῶς τὰ τόξα ὠνόμασεν εἰς δὲ τὴν πόρθησιν τὸν Νεοπτόλεμον.

---

3 πυρόβολα L, corr. Buttmannus. — 27 μὲν addidi.

72 ὤμοσαν γὰρ τῷ Τυνδάρεῳ πάντες Ἕλληνες συνελθεῖν ἐὰν ἁρπασθῇ ἡ Ἑλένη.

75 τόξων ἐγκρατὴς] ἔχων τὰ τόξα.

77 σοφισθῆναι] σοφίσασθαι.

94 βούλομαι δ', ἄναξ, καλῶς: ἀντὶ ἀληθεύων, Fol. 81 a
νικᾶν δὲ κακῶς ἀντὶ μετὰ ψευδολογίας· ὅ ἐστι θέλω εἰπὼν τὸ ἀληθὲς ἀποτυχεῖν μᾶλλον ἢ ἐξαπατᾶν τὸν ἄνδρα καὶ ἐπιτυχεῖν· εἰσάγει δὲ αὐτὸν ὁ Σοφοκλῆς τὸν τοῦ πατρὸς λόγον λέγοντα

ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀίδαο ⟨πύλησιν⟩
⟨ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν ἄλλο δὲ βάζῃ⟩.

98 εἰς ἔλεγχον] εἰς πεῖραν ⟨τῶν⟩ πραγμάτων.

99 κρείσσονα τῶν ἔργων οὖσαν τὴν γλῶσσαν· διαβάλλει τοὺς καθ' ἑαυτὸν ῥήτορας ὁ ποιητὴς ὡς διὰ γλώσσης πάντα κατορθοῦντας.

τὴν γλῶσσαν] τὴν ἀπάτην.

πάνθ' ἡγουμένην] προηγουμένην εἰς ἅπαντα.

ἀνύουσαν.

100 ὃ θέλεις κέλευε πλὴν τοῦ ψεύδεσθαι.

105 ἄφυκτα γὰρ ἦν τὰ Ἡράκλεια βέλη καὶ τοῦ σκοποῦ μὴ ἀποτυγχάνοντα ἢ ἐπανερχόμενα εἰς ἑαυτόν.

106 οὐκοῦν οὐδὲ προσελθεῖν αὐτῷ εὐθαρσές ἐστι καὶ ἀσφαλές;

προσμῖξαι] πλησιάσαι.

107 δόλῳ] ἀπάτῃ.

109 εἰ σωτηρία ἐξ αὐτοῦ προσγίνεται.

110 πῶς οὖν ἀποβλέπων τις εἰς τὸ ψεῦδος ἐρεῖ αὐτό; νοῶν ἢ λογισμὸν ἔχων;

---

10 Il. ι 312. *πύλησιν* habet G. — 12 *τῶν* add. Br. — 21 *ἐπανερχομένου* L, corr. l.

111 ὀκνεῖν] ἀποδειλιᾶν.

113 αἱρεῖ] πορθεῖ.

116 θηρατέ'] ληπτέα, ἄξια τοῦ θηραθῆναι.

117 φέρῃ δωρήματα] τιμήματα ἀποφέρῃ.

118 ποίῳ] ποῖα, δυικῶς.

119 σοφὸς μὲν διὰ τὸ κλέψαι ἀγαθὸς δὲ διὰ τὸ πορθῆσαι· ἢ σοφοῦ μὲν ὄντος καθόλου τοῦ δολῶσαι δυναμένου νῦν δὲ καὶ τοῦ δόλου ἀγαθοῦ ὄντος.

κεκλῇ'] ἀντὶ κεκλημένος εἴης.

122 συνῄνεσα] συνεθέμην.

125 τὸν σκοπὸν τοῦτον πρὸς τὴν ναῦν ἀποπέμψω καὶ πάλιν, ἐὰν καιρὸς καλῇ, ἐνταῦθα 〈αὐτὸν ἀποστελῶ〉 ἐάν μοι δόξητε βραδύνειν.

129 ὡς ἂν ἀγνοίᾳ προσῇ] ἵνα μὴ γνωσθῇ.

130 οὗ δῆτα: τοῦ Φιλοκτήτου ἀπατωμένου ἢ τοῦ ναυκλήρου δόλιά σοι διαλεγομένου καὶ ἀσυμφανῆ.

σοφιζομένου, διαλεγομένου.

134 Πολιὰς] πολιοῦχος.

ὁ Ὀδυσσεὺς ἀπέστη.

Fol. 81b 136 στέγειν] κρύπτειν.

ὑπόπταν] ἀντὶ ἐμὲ φανερὸν γεγονότα καὶ ἐλθόντα εἰς ὄψιν· ἢ τὸν Φιλοκτήτην τὸν ὑφ' ἡμῶν κατασκοπούμενον. ἄλλως: πρὸς τὸν ὑφορώμενον ἡμᾶς ἄνδρα τί δεῖ λέγειν ἢ σιωπᾶν;

137 τοῦτο ἐν τῷ καθόλου· ἡ γὰρ τέχνη, φησί, καὶ ἡ γνώμη τῶν βασιλέων προὔχει τῶν ἄλλων τεχνῶν· καὶ ἐν Οἰδίποδι

ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες οὐχ ὁρῶ

---

12 αὐτὸν ἀποστελῶ addidit G. — 28 Tyr. v. 530. δρῶσιν, ω ex α L, δράσωσιν l.

*καὶ Ἡσίοδος*

*τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες.*

139 *παρ' ὅτῳ*] *ἐφ' ᾧ ἐστι τὸ θεῖον σκῆπτρον.*

141 *τοῦτο τὸ ἀξίωμα ἐκ προγόνων ἦλθεν εἰς σέ· δίκαιον οὖν σοι πείθεσθαι.*

142 *κράτος ὠγύγιον*] *τὸ ἐξ ἀρχῆς τιθέμενον κράτος.*

143 *ὑπουργεῖν*] *λείπει ἡ σὺν ἵν' ᾖ συνεργεῖν.*

144 *νῦν μέν, φησίν, εἰσελθὼν ὅρα τὸν τόπον ἐπὰν δὲ ἔλθῃ τότε σὺ τῶν μελάθρων ἀποστὰς ὑπηρέτει μοι πρὸς τὴν παροῦσαν χρείαν.*

*τόπον ἐσχατιαῖς*] *τὸν ἐπὶ τῷ ἐσχάτῳ τόπον.*

148 *ὥσπερ ἐγὼ προχωρῶ οὕτως ἀκολουθῶν πειρῶ με θεραπεύειν ἀεί. κυρίως δέ ἐστιν ἀκούειν τὸ προσχωρῶν οἷον ὡς ἂν ἐγὼ προστάσσω τοῦτον τὸν τρόπον ποιῶν.*

150 *μέλον πάλαι μέλημα: ἀντὶ πρᾶγμά μοι λέγεις ἐκ πολλοῦ μοι μεμεληκός, τὸ φρουρεῖν τὸ σὸν ὄμμα καὶ τὴν ἀπὸ σοῦ εὐκαιρίαν.*

151 *τὸ σὸν φρουρεῖν ὄμμ'*] *τὰ σὰ νεύματα φυλάττειν.*

153 *ἔνεδρος*] *ἔνοικος.*

155 *οὐκ ἀποκαίριον*] *οὐκ ἄτοπον, οὐκ ἄκαιρον· εὔκαιρον γάρ ἐστι τὸ τοῦτο μαθεῖν.*

156 *προσπεσὼν*] *προσπελάσας.*

158 *ἔναυλον ἢ θυραῖον*] *ἐντὸς ἢ ἐκτός; ἐγγὺς ἢ μακράν;*

163 *ὀγμεύει*] *ὄγμος ἡ ἐπὶ στίχον φυτεία, νῦν δὲ ἀντὶ ἐφεξῆς πορεύεται.*

---

2 Theog. v. 88. — 3 *ἐφ'*] *ὑφ'* L, corr. Lasc. — 11 *τόπῳ* L, corr. Br. — 12 *προσχωρῶ* L, corr. Lasc. — 13 *προχωρῶν* G, l. — 27 *ἡ ἐπίστοιχος* G; cf. schol. Il. λ 68: *ὄγμος τὸ ἐπίστιχον*

166 σμυγερῶς] ἐπιπόνως.

167 αὑτῷ: ἀντὶ ἑαυτῷ· ἐπινωμᾶν δὲ ἐξευρίσκειν.

168 παιῶνα] θεραπείαν.

169 ἐλεῶ, φησίν, αὐτὸν πῶς δύναται διάγειν μήτε συνοικῶν τινι μήτε κηδόμενόν τινα ἔχων.

170 μή τινος αὐτοῦ τῶν ἀνθρώπων κηδομένου.

171 μηδὲ ὁρῶν εἰς ἄνθρωπον σύνοικον.

174 ἀλύει] ἀλγεῖ, ἀπορεῖ.

ἐπὶ παντὶ] ἐπὶ παντὶ ἐν χρείᾳ γινομένῳ ἀπορεῖ.

ὁπηνίκα χρείας καλέσῃ καιρὸς ἀδημονεῖ διὰ τὸ πάντων ἀπορεῖν.

177 ὦ παλάμαι] ὦ τέχναι καὶ γνῶμαι.

τοῦτο θαυμάζων τὸν Φιλοκτήτην φησὶ πῶς μόνος ὢν ἐξευρίσκει τὰ πρὸς τὴν ζωὴν ἑαυτῷ.

179 οἷς ὁ βίος οὐκ ἔχει τῶν κακῶν μέτρον· ἢ οὕτως, οἷς μὴ σύμμετρος ὁ βίος καὶ ἐπαρκῶν.

180 πρωτογόνων] εὐγενῶν.

181 ὕστερος] ὑστερίζων.

183 κεῖται μοῦνος] ἔρημος νῦν κεῖται.

Fol. 82 a 184 στικτῶν ἢ λασίων] ποικίλων καὶ δασυτρίχων.

188 ἀθυρόστομος: πολυλάλητος, μὴ εἰργομένη τοῦ φθέγγεσθαι· ἀθυρόστομον δὲ εἶπεν τὴν ἠχὼ ἐπεὶ πρὸς πάντας ἀντιφθέγγεται· ὁ δὲ νοῦς, ἀεὶ δὲ ὀδυρομένου αὐτοῦ ἠχὼ πρὸς τὸν ὀδυρμὸν ἀντιφθέγγεται.

189 τηλεφανὴς] μήκοθεν φαινομένη διὰ τῆς φωνῆς ἀντὶ οἰμώζει καὶ τὴν ἠχὼ πόρρωθεν ἀνεγείρει.

191 οὐδὲν τούτων θαυμαστόν: οὐδέν, φησί, τούτων θαυμαστὸν ἐμοὶ ὅτι κακὰ πάσχει ὁ Φιλοκτήτης· ἐκ θεῶν γάρ, ὡς οἶμαι, ταῦτα πέπονθεν καὶ τὸ πάθος

---

ἔργον τῶν θεριζόντων; ἐπὶ ταξίαν l. — 1 ἐπιμόνως L, corr. G.

ὑπέμεινεν κατὰ βούλησιν [καὶ] θεῶν ἵνα μὴ τὰ βέλη εὐθέως ἀπελθόντος αὐτοῦ πορθήσῃ τὴν Τροίαν παρὰ ⟨τὴν⟩ εἱμαρμένην ἀλλὰ ἐκδέξηται τὸν καιρόν.

194 τῆς ὠμόφρονος Χρύσης: Χρύση νῆσος πρὸ τῆς Λήμνου ἔνθα διέτριβεν Χρύση τις νύμφη ἣ ἐρασθεῖσα τοῦ Φιλοκτήτου καὶ μὴ πείσασα κατηράσατο αὐτῷ διὸ καὶ ὠμόφρονα αὐτὴν ἐκάλεσεν.

εἰς τὸ αὐτό: Χρύσης Ἀθηνᾶς ἄγαλμα οὕτως καλεῖται· ἔστι δὲ καὶ πόλις Χρύση πλησίον Λήμνου ἔνθα ὑπὸ τοῦ ὄφεως ἐδήχθη τὸν βωμὸν ζητῶν ἐν ᾧ ἔθυσεν Ἡρακλῆς ἡνίκα κατὰ Τροίας ἐστράτευσεν.

198 ἀμάχητα] ἀνίκητα.

199 πρὶν ὅδ' ἐξήκοι χρόνος: πρὶν αὐτήν, τὴν Τροίαν, εἰς τὸν εἱμαρμένον ἐλθεῖν χρόνον ἐν ᾧ εἵμαρται αὐτὴν πορθηθῆναι.

ᾧ: χρόνῳ.

200 ὑπὸ τῶνδε] ὑπὸ τῶν βελῶν.

201 εὔστομ' ἔχε παῖ: εἰώθασιν οὕτω λέγειν ἀντὶ τοῦ σιώπα· τὸ δὲ τοιοῦτον κεχίασται ὅτι Ἑλλάνικός ποτε ἀναγινώσκων τὰ Ἡροδότου ἔλεγεν „περὶ δὲ τῶνδε μοι εὔστομα κείσθω“ οὐ διαιρῶν εἰς δύο λέξεις ἀλλ' ὡς ἄν τις εἴποι ταῦτα εὔστομα· τοῦτο δέ φησιν ὁ χορὸς κτύπον ἀκούσας ἐπερχομένου τοῦ Φιλοκτήτου καὶ στένοντος κατὰ τὴν πορείαν διὰ τὸ ἄλγος.

203 φωτὸς σύντροφος: ⟨κτύπος⟩ φωνῆς τῆς συν-

---

1 καὶ deletum in L om. G, τῶν l. — 3 τὴν addidi. — 5 Χρύση] χρυσῆ L. — 8 et 9 χρυσῆς et χρύσῆ L. — 10 ἔνθα] ἔνθεν L, corr. l. ἐδήχθη τὸν βωμὸν ζητῶν κ. ἑ.] cf. schol. v. 270. — 13 πρὶν αὐτὴν] πρὶν post εἱμαρμένον legitur in L, transposui. — 16 lemma restitui. — 19 Ἑλλάνικος] grammaticus. — 20 Ἡροδότου] II, 171. — 25 κτύπος addidi.

τραφείσης αὐτῷ· δῆλον δὲ ὅτι κακῆς καὶ οἰμωκτικῆς ὡς κατὰ τὸ σύνηθες αὐτοῦ τειρομένου.

204 ἦ που τῇδ' ἢ τῇδε] ἆρ' ὧδε ἢ ἐνθάδε;

206 φθογγά του] φθογγή τινος.

στίβου] ἔξωθεν προσληπτέον τὴν ἐπί.

209 τρυσάνωρ: ἐπίπονος, ἡ καταπονοῦσα τὸν ἄνδρα.

διάσημα] φανερά.

211 φροντίδας νέας: τὸ ἑξῆς, ἔχε φροντίδας νέας οἷον κοινότερόν τι βούλευσαι τί πρὸς αὐτὸν ἐρεῖς.

212 οὐκ ἔξεδρος ἀλλ' ἔντοπος] οὐ μακρὰν ἀλλ' ἐγγὺς καὶ ἐπὶ τόπου.

ἐγγύς.

213 οὐ μολπὰν σύριγγος ἔχων: οὐ βοᾷ τερπόμενος σύριγγι ὡς ποιμήν.

215 ἀλλ' ἤ που πταίων: ἀλλὰ τάχα ⟨ἢ⟩ προσκόπτων ὑπὸ τῶν βασάνων βοᾷ ἢ δύσορμον τὸν λιμένα ὁρῶν· προβοᾷ ⟨γὰρ⟩ ἡμῖν μὴ πελάζειν εἰς αὐτόν· Ὅμηρος

Λῆμνον ἀμιχθαλόεσσαν

τὴν ἀπροσόρμιστον.

222 ἢ γένους] ἢ ποίου γένους.

223 Ἑλλάδος] Ἑλληνικῆς.

225 ὄκνῳ] φόβῳ διὰ τὰ κακά.

226 δεῖ γὰρ αὐτὸν ἐξηγριωμένον εἰσφέρειν τῇ ὄψει καὶ τῷ σχήματι.

230 ἀνταμείψασθ'] (ἀνταμεί)βε(σθε).

231 τοῦτό γ'] τῆς προσηγορίας.

Fol. 82 b εἰς τοῦτο.

---

15 ἢ addidi. — 17 γὰρ addidi. — 19 Il. ω 753. — 23 edebatur ὀκνῷ] φοβῷ; φόβῳ, quod scripseram *Beitr.* p. 3, habet L. — 27 ad v. 229 adscriptum in L, corr. Elmsl.

234 φεῦ] θαυμαστικὸν μετ' ἐκπλήξεως τὸ φεῦ ἐνταῦθα.

καὶ τὸ] τὸ καί.

236 προσέσχε] προσορμίσαι ἐποίησεν.

238 εἰδῶ] μάθω.

240 αὐδῶμαι] λέγομαι.

244 προσέσχες] ὥρμισας.

246 πῶς εἶπας;] θαυμάζων φησὶν ἐπεὶ μὴ εἶδεν αὐτὸν ἐξ ἀρχῆς στρατευσάμενον.

251 κλέος] φήμην.

254 πικρὸς] ἐχθρός.

257 ἀλλ' οἱ μὲν] οἱ Ἀτρεῖδαι.

264 χὠ Κεφαλλήνων ἄναξ] ὁ Ὀδυσσεύς.

267 χαράγματι] δήγματι· τὸ γὰρ δῆγμα τοῦ ὄφεως μόνον χαράσσει.

268 ξὺν ᾗ] νόσῳ.

269 τῆς ποντίας] τῆς παραθαλασσίας· ὅτε ἀπὸ Χρύσης ἦλθον εἰς Λῆμνον

ὃς Χρύσην ἀμφιβέβηκας.

270 λέγεται γὰρ ὡς ἐν Λήμνῳ βουλόμενος ἀναστῆσαι βωμὸν Ἡρακλεῖ παρὰ τὸν αἰγιαλὸν ὑπὸ ὄφεως ἐπλήγη.

κατέσχον] προσώρμισαν.

271 σάλου] κινήματος, πόνου.

275 οἷ' αὐτοῖς τύχοι] καταρᾶται.

276 ἀνάστασιν νῦν ⟨καλεῖ⟩ τὴν ἐξ ὕπνου ἔγερσιν.

280 βεβῶσας] ἀπελθούσας. Fol. 83a

---

19 Il. α 37. — 24 πόνου] πόντου Riccardus Mollweidus. — 26 καλεῖ add. G.

284 *τούτου: τοῦ ἀνιᾶσθαι ἄδειαν καὶ εὐχέρειαν πολλήν.*

286 *καὶ ἔδει με ἐμαυτῷ ἐξυπηρετεῖσθαι.*

287 *τὰ σύμφορα] τὰ ἀναγκαῖα.*

290 *νευροσπαδὴς] ὁ ἐπισπώμενος τῇ νευρᾷ· διὰ γὰρ τῶν γλυφίδων ἔρχεται.*

291 *εἰλυόμην: ἐπορευόμην· εἴλυσις γὰρ ἡ πορεία.*

296 *ἐκθλίβων] (ἐκ)τρί(βων).*

297 *ἄφαντον] ἀπροσδόκητον. ἄλλως: καλῶς εἶπεν ἄφαντον· οὐ φαίνεται γὰρ ἀλλὰ δυνάμει αὐτὸ ἔχει.*

298 *ἀντὶ ἡ οἰκία ἡ μετὰ πυρὸς οὖσα καλῶς διοικεῖται.*

301 *ταύτῃ] τῇ γῇ.*

303 *ἐξεμπολήσει] πωλήσει, πραγματεύσεται, ἐμπορεύσεται.*

*ξενώσεται] καταχθήσεται ὡς ξένος.*

304 *τοῖσι σώφροσιν] τοῖς εὐτυχοῦσιν.*

310 *ἐκεῖνο] τὸ ἀποφέρειν με εἰς τὴν πατρίδα.*

313 *τὴν ἀδηφάγον] τὴν βρωτικήν.*

316 *ἀντίποιν'] ἀμοιβαῖα.*

317 *οἷον, κἀγὼ ἐξ ἴσου ἐλεῶ σε τοῖς ἀφιγμένοις ἐνταῦθα ὥσπερ οἱ ἄλλοι ξένοι, φησί, περὶ ὧν ἔλεγες.*

319 *κἀγὼ νῦν μάρτυς εἰμὶ τοῖς ὑπὸ σοῦ λεγομένοις περὶ τῶν Ἀτρειδῶν καὶ τοῦ Ὀδυσσέως.*

320 *εἴσ' ἀληθεῖς] εἰσὶν οἱ σοὶ λόγοι ἀληθεῖς.*

324 *εἴθε γένοιτό μοι ὠργισμένῳ ὅρμησις κατ' αὐτῶν καὶ τὴν δύναμιν ἐνδείξασθαι.*

---

1 lemma restitui. — 5 *τῇ νευρᾷ] τὴν νευρὰν* L, corr. Suid. v. *νευροσπαδής.* — 6 *διέρχεται τὰ βέλη* G. — 7 *εἴλησις* L, corr. l. — 9 *ἄλλως] ἀλλὰ* L, correxi. — 20 *ἀμοιβαῖα ἀντὶ τοῦ τιμία ῥήματα* (scr. *τιμωρήματα*) G.

θυμῷ] ὀργῇ.
χεῖρα] τὴν πρᾶξιν.
327 τίνος γὰρ] λείπει τὸ ἕνεκεν. Fol. 83 b
329 μόλις δ' ἐρῶ] ὑπὸ τῆς ὀργῆς.
332 πέρα] περαιτέρω.
334 κοινὴ ἡ πρόθεσις ἡ ὑπό.
335

λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.

336 εὐγενὴς] ἀντὶ ἀνδρεῖος εἴ γε καὶ γενναῖος ὁ εὐγενής.
338 ἐλέγχω] κρίνω, ἐρωτῶ.
339 οἶμαι μέν σε ἱκανὸν ἔχειν κακὸν τὴν νόσον.
342 χ.
τὸ χ ὅτι δὶς τὸ αὐτὸ εἶπεν αὖθις καὶ πάλιν.
343 ἦλθόν με — μέτα] μετῆλθόν με.
344 χὠ τροφεὺς] ὁ Φοῖνιξ.
351 οὐ γὰρ εἰδόμην] ζῶντα.
355 πικρὸν Σίγειον] ἤτοι διὰ τὸν θάνατον τοῦ Ἀχιλλέως ἢ διὰ τὸ δυσχείμερον τοῦ τόπου.
οὐρίῳ πλάτῃ] τῷ εὐδίῳ πλῷ.
359 κεῖνος] ὁ Ἀχιλλεύς.
363 διὰ μέσου τὸ οἴμοι ἀποδυρόμενός φησιν.
τλημονέστατον] λυπηρότατον.
366 κρατύνει] κρατεῖ.
369 ὦ σχέτλι'] πρὸς τὸν Ἀγαμέμνονα.
370 πρὶν μαθεῖν ἐμοῦ] ἀντὶ πρὶν ἐμοῦ πυθέσθαι.
373 κἀκεῖνον] τὸν Ἀχιλλέα. Fol. 84 a
374 ἤρασσον] ἔβαλλον, κατηρώμην, ὕβριζον.

---

6 ad v. 335 adscriptum in L, corr. Elmsl. — 8 Il. φ 278. — 19 τόπου] τό in litura.

375 *μηδὲν ὕβρεως παραλιμπάνων.*

376 *κεῖνος*] *ὁ Ὀδυσσεύς.*

377 *ἐνθάδ' ἥκων*] *εἰς τὴν ὀργὴν ἐλθὼν καίπερ οὐ μάχιμος ὢν οὐδὲ ὀργίλος.*

*ἐνθάδ'*] *εἰς τὴν ὀργήν.*

378 *δηχθεὶς*] *λυπηθείς.*

379 *τότε, φησίν, ἡνίκα τοῦ Ἀχιλλέως προεκινδυνεύομεν οὐ παρῆς ἔνθα ἔδει σε παρεῖναι ἀλλ' ἀπῆς ὅπου οὐκ ὤφειλες.*

381 *ἔχων*] *λείπει ὅπλα.*

383 *τητώμενος*] *ἐστερημένος.*

385 *καὶ οὐ μέμφομαι τοσοῦτον τῷ Ὀδυσσεῖ ὅσον τοῖς περὶ Ἀγαμέμνονα· αὐτοὶ γὰρ πάντων κρατοῦσιν καὶ ἐν αὐτοῖς ἦν τὸ ἐμὲ λαβεῖν.*

386 *τῶν ἡγουμένων*] *τῶν βασιλέων.*

387 *κακῶς φρονοῦντες ὡς καὶ Ὀδυσσεὺς κακῶς φρονεῖ· ἐπὰν γὰρ οἱ βασιλεῖς κακῶς φρονῶσι κακῶς δῆλον ὅτι καὶ οἱ ὑπήκοοι.*

*ἀκοσμοῦντες*] *ἄτακτα ἐργαζόμενοι.*

388 *διδασκάλων*] *τῶν βασιλέων.*

389 *τοῦτο τῶν πλαγίως νοουμένων.*

391 *ὀρεστέρα*] *ὦ Ῥέα· ἡ αὐτὴ δέ ἐστι τῇ γῇ, ἐν δὲ τοῖς ὄρεσι τὰ μυστήρια αὐτῆς γίνεται.*

*παμβῶτι: πάντας τρέφουσα· παρὰ τὸ Ὁμηρικὸν*

*ζείδωρος ἄρουρα·*

*διὰ δὲ τὸ ταύτην τὴν θεὸν τιμᾶσθαι παρὰ Φρυξὶ πρὸς αὐτὴν τὸν λόγον ποιεῖται.*

---

13 *τοῖς*] *τοὺς* L, corr. Lasc. — 16 leguntur in L post *λαβεῖν* in scholio v. 385, separavit Lasc. — 22 *ὦ Ῥέα*] *ὀρεία* L, correxi coll. schol. v. 392. 402. — 25 Il. β 548, al.

πολύτροφε.

392 μᾶτερ αὐτοῦ Διὸς] ὅτι ⟨ἡ⟩ αὐτή ἐστι Ῥέα καὶ γῆ.

393 Πακτωλὸν] ποταμὸς Λυδίας ἔνθα ἡ Ῥέα τιμᾶται· χρυσᾶ δὲ ψήγματα ἀπὸ τοῦ Τμώλου [τοῦ] ὄρους διὰ τοῦ Πακτωλοῦ καταφέρεται.

395 καὶ τότε σε ἐπεκαλεσάμην τιμωρήσασθαι τοὺς περὶ Ἀγαμέμνονα ὅτε παρεδίδοσαν τὰ ὅπλα τοῦ Ἀχιλλέως καὶ νῦν δὲ καλῶ ἵνα τούτους τιμωρήσῃ.

ἐπηυδώμαν] ἐπεκαλούμην.

396 ἐς τόνδ'] τὸν Νεοπτόλεμον.

398 τὸ ἑξῆς, ὅτε τὰ πατρικὰ ὅπλα παρεδίδοσαν τῷ Λαερτίου.

401 ἐπὶ ἅρματος γὰρ λεόντων ὀχεῖται ἡ Ῥέα.

ἔφεδρε] πάρεδρε.

402 σέβας ὑπέρτατον] ὦ Ῥέα· ἢ νοητέον ἐπὶ τῶν ὅπλων.

405 προσᾴδεθ'] συμφωνεῖτε.

416 ὁ Τυδέως γόνος] σὺν Ὀδυσσεῖ γὰρ αὐτὸν ἐξέβαλεν Διομήδης.

417 χ.

ἐκ Σισύφου γὰρ κύουσα ἡ Ἀντίκλεια ἐγαμήθη Λαέρτῃ καὶ διὰ τοῦτό φησιν αὐτὸν ὥσπερ πεπρᾶσθαι ἐπειδὴ Λαέρτης πολλὰ δοὺς χρήματα ἠγάγετο τὴν Ἀντίκλειαν· τὸ χ δὲ ὅτι πάλιν Λαερτίου κτητικὸν ἀντὶ πρωτοτύπου Λαέρτου.

419 ἐπίστω] ἐπίστασο. Fol. 84b

423 κάκ' ἐξήρυκε] γράφε κἀξεκήρυξε.

---

2 ἡ add. Wunderus. — 5 τοῦ inclusi. — 8 προεδίδοσαν L, correxi. — 25 πάλιν] cf. schol. Ai. v. 1. — 28 κάκ' ἐξήρυξε editores multi.

425 οἱ μὲν γράφοντες μόνος παρ᾽ ἱστορίαν φασὶν (εἶχε γὰρ καὶ ἄλλους) οἱ δὲ γόνος τῷ ποιητῇ ἀκολουθοῦντες λέγουσιν.

426 δύ᾽ αὔτως δείν᾽ ἔλεξας] γράφε δύ᾽ αὐτὼ δ᾽ ἐξέδειξας, δυικῶς.

429 κἀνταῦθ᾽] ἐν τοῖς ζῶσιν.

431 σοφὸς μέν ἐστιν ἀλλ᾽ οὐ διόλου ἔσται· αἱ γὰρ τοιαῦται γνῶμαι καταβάλλονται εὐθέως.

443 ἀντὶ ἃ οὐκ ἤθελέν τις ἅπαξ ἀκοῦσαι ταῦτα πολλάκις ἔλεγεν.

445 τοῦτο παρ᾽ ἱστορίαν· λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀνῃρῆσθαι καθ᾽ ὃν χρόνον καὶ τὴν Πενθεσίλειαν ἀνεῖλεν· φονευθείσης γὰρ τῆς Πενθεσιλείας ὑπὸ Ἀχιλλέως ὁ Θερσίτης δόρατι ἔπληξε τὸν ὀφθαλμὸν αὐτῆς διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς κονδύλοις αὐτὸν ἀνεῖλεν· ἐλέγετο γὰρ ὅτι καὶ μετὰ θάνατον ἐρασθεὶς αὐτῆς συνελήλυθεν.

446 ἔμελλ᾽] ἔοικεν.

ἐπεὶ οὐδέπω] κατὰ συνίζησιν βαίνεται ἐπειου ἀντὶ τοῦ που.

447 περιστέλλουσιν] περικαλύπτουσιν.

448 παλιντριβῆ] τετριμμένα τοῖς κακοῖς.

449 σῴζουσιν ἐξ Ἅιδου τοὺς ἐπιτρίπτους καὶ δολερούς.

451 ταῦτα] τὰ γινόμενα.

452 τὰ θεῖ᾽] τὰ θεῖα ἔργα· νοσῶν δὲ δυσφημεῖ.

---

1 φησὶν L, corr. Lasc. — 2 τῷ ποιητῇ] Od. γ 412 sqq. — 4 δύ᾽ αὖ τώδ᾽ ἐξέδειξας restituit Porsonus. — 7 ἔσται τ (?deletum) αἱ L. — 8 εὐθέως] συνήθως? — 11 λέγεται γὰρ κ. ἑ.] Arctini fabula; Kink. p. 33. — 17 συνεληλυθέναι L, correxi. αὐτῇ addit G.

453 ὄρος τῆς Τραχῖνος ἡ Οἴτη· Τραχῖνος δὲ ἦν καὶ Μηλιεύς.

455 φυλάξομαι] ὡς κακούς.

456 ὁ κακὸς νικᾷ τὸν ἀγαθόν· καὶ Ἡσίοδος

βλάπτει δ' ὁ κακὸς τὸν ἀρείονα ⟨φῶτα⟩.

ὅπου θ'] (ὅπου) γ'.

μεῖζον σθένει] πλέον ἰσχύει.

457 κἀποφθίνει τὰ χρηστὰ] Ὅμηρος

ἐπεὶ τὰ χερείονα νικᾷ.

463 μεταστήσειαν] ἀπαλλάξειαν.

465 εἴκῃ] διδῷ, συγχωρήσῃ.

467 μᾶλλον ἐκ τοῦ σύνεγγυς ἢ ἐξ ἀπόπτου τὸν Fol. 85a πλοῦν περιμένειν.

472 ὅσοισι] κακοῖς.

473 ἐν παρέργῳ] οἷον οὐκ ἐν τετιμημένῳ μέρει τῆς νεὼς ἀλλ' ὅπῃ βούλῃ· δηλοῖ δὲ ταῦτα ἐν τοῖς ἑξῆς.

474 φορήματος] βάρους.

475 ὅμως δὲ σῷσόν με γιγνώσκων ὅτι τοῖς εὐγενέσι τὸ αἰσχρὸν ἐχθρόν ἐστι καὶ τὸ καλὸν εὔδοξον.

482 τὸ ἐν παρέργῳ νῦν ἐνεφάνισεν.

486 ἀκράτωρ] ἀσθενής, κρατεῖν ἐμαυτοῦ μὴ δυνάμενος.

489 καὶ Ὅμηρος

Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων.

493 δι' ὃν δὴ πρὸ πολλοῦ χρόνου ηὐλαβήθην.

---

2 Μηλιεὺς] sumtum ex v. 4. — 5 Opp. 193 ubi βλάψει. φῶτα add. G. — 9 Il. α 576, al. — 12 ἢ] μὴ L, correxi. — 15 τιμημένωι L, corr. Lasc. — 20 ἐν παρέργῳ] v. 473. — 24 Il. β 541.

παλαιὰν] πάλαι ἄν.

494 τοῖς ἱκμένοις] ἀντὶ διὰ τῶν ἱκμένων καὶ πεπορευμένων.

498 ἐν σμικρῷ] ἐν ἐλάττονι.

501 σῷσόν με γινώσκων τὰ ἀνθρώπινα πράγματα μεταβαλλόμενα.

503 θάτερα] τὰ φαῦλα.

504 τὰ δείν' ὁρᾶν] φοβεῖσθαι καὶ εὐλαβεῖσθαι.

508 δυσοίστων] ἀφορήτων, δυσυπομονήτων.

512 τὸ ἐκείνους λυποῦν τούτῳ κέρδος καὶ ὠφέλειαν μεταποιῶν.

τὸ κακὸν τὸ ἀπὸ τῶν Ἀτρειδῶν ⟨κέρδος⟩ μετατιθέμενος τῷ Φιλοκτήτῃ οἷον εἰς ἀγαθὸν μεταποιῶν καὶ μεταβάλλων καὶ ἐπανορθῶν· λέγει γὰρ ὅτι βοηθήσω αὐτῷ ἵνα ἐκείνους λυπήσω ἐπανορθῶν αὐτῷ ⟨τὴν⟩ συμφορὰν τὴν ὑπὸ τῶν Ἀτρειδῶν γεγονυῖαν.

515 ἔνθα] ὅπου.

524 ἀλλ' αἰσχρόν ἐστιν ἐνδεέστερόν σου εἶναί με ἐν τῷ βοηθεῖν τοῖς φίλοις· ἢ οὕτως, αἰσχρόν ἐστιν εἰ ἐνδεέστερόν σου διατεθήσομαι περὶ τὴν εἰς τοὺς ξένους εὐεργεσίαν· οὐ παραιτήσομαι οὖν.

528 δὲ] γ(ε).

531 πῶς ἂν ἀποδοίην τὰς εὐεργεσίας ὑμῖν ὡς ἐφιλήσατέ με; ἢ πῶς ἂν τῷ ἔργῳ εὖ πράξαιμι καὶ τῷ λόγῳ ὑμῖν;

533 προσκύσαντες] ἀσπασάμενοι τὴν ἑστίαν.

534 ἄοικον] δύσοικον ὥσπερ ἀτυχὴς ὁ δυστυχής.

535 εὐκάρδιος] καρτερικός.

536 ἐγὼ γὰρ ὑπολαμβάνω μηδένα ἄλλον τὴν

---

12 κέρδος addidi. — 16 τὴν addidi. — 18 εἶναι] φανῆναι l.

θέαν τῶν ἐνθάδε ἐνεγκεῖν, πόσῳ μᾶλλον ⟨τὴν⟩ εἰσοίκησιν;

538 τάδε] γράφε κακά.

542 οὗτος ὁ ἔμπορος διαπέπλασται ὑπὸ Ὀδυσσέως ναύκληρος, πραγματευτὴς εἰωθὼς τοῖς Ἕλλησι τὰ ἐπιτήδεια ἐπάγειν· ἐοικὼς δὲ καὶ ὡς οἴνου αὐτὸν διατυπούμενος πραγματευτήν.

545 ἀντὶ οὐκ ἐπίτηδες ἐλθὼν ἐνταῦθα ἀλλὰ πλέων ἐπὶ τὴν πατρίδα [ἰδὼν] ὥρμισα· οὐκ οἰόμενος, φησί, συντεύξεσθαι, κατὰ τύχην δέ.

549 Πεπάρηθον] δῆμος τῆς Ἀττικῆς καὶ μία τῶν Κυκλάδων νήσων.

552 προστυχόντι τῶν ἴσων] ἀντὶ εὑρόντι τοὺς σοὺς ναύτας τοὺς ἐμοὶ ἴσους, τοὺς τὴν αὐτήν μοι τέχνην μετερχομένους.

παραλέλειπται ἡ ἐξ· βούλεται γὰρ λέγειν ἐκ τῶν ἴσων.

556 ἐξαργούμενα] ἀναβολὴν ἔχοντα.

557 ἔσται σοι χάρις τῆς προμηθείας ὕστερον.

561 φροῦδοι] ἀφανεῖς, κρυπτοί. Fol. 86a

562 Θησέως κόροι] Ἀκάμας καὶ Δημοφῶν ὧν οὐ μέμνηται Ὅμηρος ἐν τῷ καταλόγῳ.

574 μὴ φώνει μέγα] μὴ βόα.

578 κατὰ σκότον — | διεμπολᾷ] λάθρᾳ ἀπατᾷ.

582 μὴ διαβάλῃς με, φησί, τῷ τῶν Ἑλλήνων στρατῷ· εὐεργετήθην ⟨γὰρ⟩ ὑπ᾽ αὐτῶν πολλά.

583 ὑπ᾽ ἐκείνων εὐεργετούμενος ἀντευεργετῶ αὐτοὺς ὡς δύναται πένης εὐεργετεῖν δῆλον ὅτι ὑπηρετῶν.

---

1 τὴν add. Br. εἰς οἴκησιν L, corr. Wunderus. — 6 ἀπάγειν L, corr. Lasc. — 9 ἰδὼν incl. A. — 12 νῆσων L. — 26 γὰρ add. G.

589 ὅρα τί ποιεῖς, παῖ] ταῦτα πλαγίως νοητέον.

590 σὲ θήσομαι τῶνδ' αἴτιον] αἴτιόν σε ποιήσω τῶν πραττομένων.

ποιοῦ λέγων] ποιοῦ με αἴτιον ὧν μέλλεις λέγειν.

591 τώδ' ὥπερ κλύεις] οὗτοι οὕσπερ κλύεις.

593 ἦ μὴν] ὄντως μήν.

597 θατέρου] τοῦ Διομήδους.

εὐτολμότερος ἦν εἰς τὸ δρᾶσαι.

598 τίνος πράγματος χάριν οὕτω διὰ τοσούτου χρόνου ἐπεστράφησαν καὶ φροντίδα ἐποιήσαντο τοῦ Φιλοκτήτου οἱ Ἀτρεῖδαι τοῦ πάλαι ἐξ αὐτῶν ἀποβληθέντος;

601 βία] φθόνος.

Fol. 86b 606 οὗτος] ὁ Ὀδυσσεύς.

607 ὁ πάντ' ἀκούων αἰσχρὰ] ὁ ὑπὸ πάντων ὑβριζόμενος.

609 οὐχ ἁπλῶς εἶπεν τὴν θήραν καλὴν ἀλλὰ διὰ τὴν πόρθησιν τῆς Ἰλίου· αὐτὸς γὰρ ἑρμηνεύει τὸν τρόπον τῆς πορθήσεως.

616 δηλώσειν] δείξειν.

619 ἐφεῖτο] ὑπέσχετο, ἐπηγγείλατο.

620 ὦ παῖ] λείπει Ποίαντος.

623 στελεῖν] πέμψειν.

625 οὑκείνου πατήρ: ὁ Σίσυφος· μέλλων γὰρ τελευτᾶν παρήγγειλε τῇ γυναικὶ αὐτὸν ἄθαπτον καταλιπεῖν καὶ κατελθὼν εἰς Ἅιδου τῶν γε νενομισμένων μὴ τυχὼν κατηγόρησε τῆς γυναικὸς παρὰ τῷ Ἀιδωνεῖ ἠξίου τε ἀνελθεῖν καὶ τὴν γυναῖκα τιμωρήσασθαι·

---

5 οὕσπερ] ου uno ductu ex ω. — 9 οὕτω] οὐ L; οὕτω, quod coniectura assecutus eram *Beitr.* p. 78, praebet Riccardianus 77. — 26 γε] τε? — 28 ἀνελθεῖν] αὖθις addit G.

*ἀνελθὼν δὲ οὐκέτι ὑπέστρεψεν ἕως μετὰ ἀνάγκης κατῆλθεν· ἐκ πατρὸς οὖν πανοῦργος Ὀδυσσεύς.*

628 *οὔκουν] ἀποφατικῶς ἢ ἐρωτηματικῶς.*

631 *τάχιον ἂν πεισθείην τῇ ἐχίδνῃ ἢ τῷ Ὀδυσσεῖ.*

636 *ὁρίζει] διίστησιν.*

637 *τὸ ἐν καιρῷ σπουδάζειν ἀνάπαυλαν ἄγει ὕστερον.*

639 *ἐπειδὰν πνεῦμα τοὐκ πρῴρας ἀνῇ] ἐπὰν παύσηται ὁ ἄνεμος ἐναντιούμενος.*

*ἄῃ] παρῇ.*

640 *ἀντιοστατεῖ] ἐναντίον πνέει.*

642 *μὴ εὐλαβηθῇς, φησί· κἀκείνοις γὰρ τὰ ἐναντία πνεύματα ἀντὶ τὰ ἡμᾶς ἐπέχοντα κἀκείνους ἐπέχει.*

643 *τοῖς γὰρ κακούργοις οὐκ ἔστιν ἐναντίος ἄνεμος· ἐν τῇ συγχύσει γὰρ μᾶλλον ἰσχύουσιν.*

648 *τί ἔχεις ὅπερ ἡ ἐμὴ ναῦς οὐκ ἔχει; ἀντὶ οὐδὲν ἡμῖν λείπει.*

650 *κοιμῶ] κατακοιμίζω, πραΰνω.*

653 *παρερρύηκεν] παρεκπέπτωκεν.* Fol. 87a

665 *ὃς ἐποίησάς με τῶν ἐχθρῶν ὑπερέχειν ὄντα αὐτῶν ἐλάττονα.*

668 *καὶ δόντι δοῦναι] ἀντὶ ἀποδοῦναί μοι τῷ δόντι σοι.*

670 *αὐτὸς γὰρ ὑφῆψε τῷ Ἡρακλεῖ τὴν πυράν.*

672 *γνώμῃ.*

676 *λόγῳ μὲν ἀκούω τὸ τοῦ Ἰξίονος πάθος ὅτι τροχάζεται (πελάταν δὲ αὐτὸν λέκτρων Διὸς εἶπεν τὸν*

---

1 *δὲ οὐκέτι ὑπέστρεψεν] οὖν τελείως ἐβίωσεν* l. — 12 *γὰρ ἐναντία τὰ πνεύματα* Dind. — 19 *παρεμπέπτωκεν* L, *παρεπέπτωκε* l, corr. Wakefieldus. — 24 cf. schol. v. 801.

πειράσαι βουληθέντα ⟨τὰ⟩ τοῦ Διὸς λέκτρα), ὃν ἔδησεν ὁ Ζεύς, μὴ μέντοι ἑορακέναι μείζονα τῆς Φιλοκτήτου νόσου.

677 τὸν πελάταν λέκτρων] τὸν βουληθέντα ἐπιβῆναι τῇ εὐνῇ τοῦ Διός.

678 κατ' ἄμπυκα δέσμιον] κατὰ τὸν τροχὸν δεδεμένον.

679 δρομάδ'] τὸν περιφερόμενον ἐν τῷ δρόμῳ.

680 παγκρατὴς] βασιλεύς.

682 μοίρᾳ | — ἐχθίονι] δυστυχίᾳ, τύχῃ στυγερωτέρᾳ [καὶ ἐχθίονι].

τύχῃ·

684 οὔτ' ἔρξας] οὔθ' ἔρξας.

νοσφίσας] ἀποστερήσας.

685 ἐν ἴσοις] ἐν δικαίοις.

687 θαυμάζω πῶς ὑπέμεινεν ἀεὶ ⟨ἐν⟩ κλυζομένοις κύμασιν ἔχων καταγωγὴν καὶ ἔρημον παντάπασιν.

688 ἀμφιπλήκτων] ἑκατέρωθεν πληττόντων· τὰ γὰρ κύματα κλύζονται κατ' ἀμφοτέραν ὄχθην τῆς θαλάσσης.

690 βιοτὰν] ζωήν, διαγωγήν.

691 ὅπου αὐτὸς μόνος ὑπὸ ἀνέμων βαλλόμενος, πρὸς ἄνεμον τετραμμένος ἦν.

βάσιν] πόδα.

692 οὐδέ τιν' ἐγχώρων] λείπει ἔχων.

Fol. 87b κακογείτονα: οὐ μόνον ὅπου καλὸν οὐκ εἶχε γείτονα ἀλλ' οὐδὲ κακὸν παρ' οὗ ἀμοιβαῖον λόγον στενά-

1 τὰ add. G. — 2 ἑωρακέναι G. — 11 καὶ ἐχθίονι inclusi. — 13 ἔρξας] εἴξας L, corr. A (teste Campbellio). — 16 ἐν addidi. — 18 ἀμφικλήστων (ἀμφικλύστων Langius; cf. Trach. v. 780) in textu l. — 19 κλύζονται] πλήττονται l. ὄχθαν L, ἤχθην G, corr. Riccard. 77.

ζων ἀκούσεται· τὸ δὲ ἑξῆς οὕτω δεῖ λαβεῖν, οὐδέ τινα ἐγχώρων ἔχων παρ' ᾧ δὴ τὸν κακογείτονα αἱματηρὸν στόνον ἀποκλαύσειεν· τὸ κακογείτονα γὰρ οὐ πρὸς τοὺς ἐνοικοῦντας ἀλλ' εἴπερ τις ἐτύγχανεν αὐτῷ συνοικῶν ὁ τούτου στόνος κακογείτων ἂν ἦν ἐκείνῳ.

693 ἀντίτυπον] ἀμοιβαῖον.

696 οὐδ' ὃς τὰν θερμοτάταν: οὐδ' ὃς τὴν θερμοτάτην καὶ ἀγρίαν αἱμάδα, τὴν τοῦ αἵματος ῥύσιν, ἀναδιδομένην ἐκ τῶν ἑλκῶν τοῦ θηροδήκτου ποδὸς ἠπίοις φύλλοις κατευνάσειεν εἴ τις ἐμπέσοι.

697 κηκιομέναν] ἀναδιδομένην· παρὰ τὸ

μέλαν δ' ἀνεκήκιεν αἷμα.

698 ἀντὶ τοῦ ὅλως οὐκ ἔχων οὐδὲ ὅστις ἕλοι φύλλον αὐτῷ ἐκ τῆς γῆς ἢ ὄρνιν τοξευθέντα ὑπὸ Φιλοκτήτου καὶ πεσόντα εἰς τὴν γῆν.

700 φορβάδος] τῆς πάντα τρεφούσης.

702 τότ' ἂν εἰλυόμενος: κυλιόμενος, χερσὶν ἐπερειδόμενος καὶ ἕλκων τὰ σκέλη ὡς νήπιος παῖς ἄνευ τιθήνης τετραποδηδὸν βαδίζων· καὶ αὐτὸς ἐν τοῖς ἀνωτέρω

πρὸς δὲ τοῦθ' ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος ⟨αὐτὸς⟩ ἂν ποσὶν
εἰλυόμην δύστηνος ἐξέλκων πόδα·

τὸ δὲ ἑξῆς, τότε γάρ, ἡνίκα ἐξανίησι δακέθυμος ἄτα, ἕρπει πόρον ἄλλοτ' ἄλλον εἰλυόμενος ὥσπερ παῖς ἄνευ φίλης τιθήνης ὑπάρχων, οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον αἴρων, οὐκ ἄλλο ὃ νεμόμεσθα ἄνδρες ἀλφησταὶ τουτ-

5 ἦν] εἴην L, corr. Riccard. 77. — 12 Il. η 262. — 21] v. 289. μοι, ο deleto L. βάλλοι L, corr. l. — 22 ἀτράκτου L. ποσὶν] τάλας in textu L. — 26 σπόρον] πόρον L, corr. Lasc.

*ἐστιν οὐ Δημητριακὸν καρπὸν οὐδέ τι τῆς συνήθους ἀνθρώπων διαίτης ἀλλὰ διὰ τῶν πτηνῶν ὀιστῶν τὴν διὰ τῶν ὀρνέων τροφήν.*

704 *ὅθεν εὐμάρει' ὑπάρχοι] ὅπου εὐμαρές ἐστιν αὐτῷ ἀπιέναι.*

705 *ἐξανίησιν] ἐνδίδωσιν.*

*ἄτα] ἡ νόσος.*

707 *γᾶς σπόρον] σῖτον.*

708 *αἴρων] λαμβάνων.*

*τῶν νεμόμεσθ'] ἀφ' ὧν νεμόμεθα τουτέστι τρεφόμεθα.*

710 *πλὴν ἐξ ὠκυβόλων: πλὴν εἴ που τοῖς πτηνοῖς βέλεσιν ἐξ ὠκυβόλων τόξων ἀνύσειε φορβὴν πτηνῶν τουτέστιν ὀρνέων· λείπει δὲ ἡ ἀπό, ἀπὸ πτηνῶν.*

*τόξων | πτανῶν] πτερωτῶν τόξων.*

712 *ἀνύσειε πτανοῖς] περιποιήσειεν ὀρνέοις.*

714 *οἰνοχύτου πώματος] οἴνου περιφραστικῶς.*

715 *ἥσθη] ἀντὶ ἐνεπλήσθη· οὐδὲ οἴνου μετείληφεν.*

716 *στατὸν εἰς ὕδωρ: τὸ ἐξ ὄμβρου συνεστηκὸς ὕδωρ ἢ πηγαῖον ἢ λιμναῖον· παρὰ τὸ ἠρεμεῖν καὶ μὴ ὑπὸ ἀνέμων κινεῖσθαι.*

717 *προσενώμα] ἑαυτὸν ἐκίνει ἀντὶ ἐπορεύετο.*

719 *παιδὸς ὑπαντήσας] τυχὼν Νεοπτολέμου.*

720 *εὐδαίμων ἀνύσει] εὐδαιμονήσει· τὸ ἑξῆς, εὐδαίμων καὶ μέγας ἀνύσει· ἐκ κείνων δὲ λέγει τῶν κακῶν.*

721 *μέγας ἐκ κείνων] ἐκ τῶν κατ' αὐτὸν εὐτυχής. λείπει ἔσται.*

---

13 *ἀνύση* L, *ἀνύσει* G, corr. Dind. — 15 ad *ὠκυβόλων* adscriptum in L, corr. Wolff. p. 76. — 20 *ἢ πηγαῖον*] *οὐ πηγαῖον* Wolff. p. 201. — 22 *ἐκείνει*, *ε* post *κ* deleto L.

722 ποντοπόρῳ δούρατι] τῇ νηί.

πλήθει | πολλῶν μηνῶν] τῷ πλήθει τῶν μηνῶν.

724 πατρῴαν ἄγει πρὸς αὐλὰν] τὴν πατρίδα.

725 Μηλιάδων] ἔστιν ἀντὶ Τραχινίων· περὶ τὴν Τραχῖνα γὰρ οἱ Μηλιεῖς.

726 ἵν' ὁ χάλκασπις: ὅπου ὁ ἐκθεωθεὶς ἀνὴρ πελάζεται πᾶσι· λέγει δὲ τὸν Ἡρακλέα.

727 πλάθει πᾶσιν: ἐπιφαίνεται λαμπρὸς ὢν ὡς πῦρ.

θείῳ πυρὶ] λείπει τὸ ὡς.

730 τί δή ποθ' κ. ἑ.] τοῦτό φησιν ὁρῶν τῇ νόσῳ πληττόμενον καὶ σιωπῶντα.

732 ἐνοχλεῖ τῷ Φιλοκτήτῃ ἡ συνήθης νόσος· θέλει δὲ κρατῆσαι ἑαυτοῦ διὸ προσποιεῖται ὅταν λέγῃ

ἀλλ' ἄρτι κουφίζειν δοκῶ.

736 ὁ Φιλοκτήτης διὰ τὴν εἰς οἶκον ἀνακομιδὴν Fol. 88a
ἀπαγορεύει τὰς γινομένας ὀδύνας καὶ λέγει ἰὼ θεοὶ ὡς χαίρων διὰ τὸν Νεοπτόλεμον, οὐ δύναται δὲ ἀληθῶς.

739 ἀναστενάζει λοιπὸν τῆς νόσου πλεοναζούσης.

741 ἀντὶ ἔοικάς μοι ὀδυνᾶσθαι.

745 βρύκομαι] ἐσθίομαι, καταναλίσκομαι.

749 ἀπάμησον] κόψον, θέρισον.

752 ἰυγὴν] ὀξεῖαν βοήν.

753 βούλεται εἰπεῖν τὴν εἰς οἶκον ἀνακομιδὴν ἐν νῷ λαμβάνων μήπως καταλείψει αὐτὸν ὁ Νεοπτόλεμος, οὐ λέγει δὲ διὰ τὸ πάθος.

755 τοὐπίσαγμα] ἡ ἐπείσοδος, ἡ προσθήκη.

758 πλάνοις] ὁδοιπορίαις· ἥκει ἡ νόσος ἴσως ὅτε

---

ἐκ

4 τραχίνων L, corr. Elmsl. — 6 θεωθεὶς L. — 14] v. 735. — 17 ὡς] καὶ L, corr. Lasc. — 27 ὁδοιπορείαις L, corr. l.

*ἐκορέσθη πλανωμένη· ὡς ἐπὶ θηρὸς δὲ ποιεῖται τὸν λόγον.*

764 *ἦτου*] *ἠξίωσας, ἤτεις.*

*ἀνῇ*] *ἐνδῷ.*

766 *φύλασσε, φησίν, αὐτά, τὰ τόξα· ἅμα γὰρ τῷ πάθει τούτῳ ὕπνος μοι ἐπέρχεται καὶ οὕτω παύομαι τῆς νόσου.*

768 *τῆς ὀδύνης παύσασθαι πρότερον πρὶν κοιμηθῆναι.*

770 *ἐκεῖνοι*] *οἱ περὶ Ὀδυσσέα.*

773 *πρόστροπον*] *ἱκέτην.*

776 *ἱλάσκου τὸν φθόνον ὥστε αὐτὰ μὴ γενέσθαι σοι πολύστονα, πικρὰ καὶ αἴτια κακῶν.*

777 *ὅπως*] *ὁμοίως.*

778 *τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ*] *τῷ Ἡρακλεῖ.*

Fol. 88b 784 *κηκῖον*] *ἀναρρέον, ἀναδιδόμενον· Ὅμηρος*

*πολὺς δ' ἀνεκήκιεν ἱδρώς.*

791 *ὦ ξένε Κεφαλλὴν*] *ὦ Ὀδυσσεῦ.*

795 *τρέφοιτε*] *λάβοιτε ἀντ' ἐμοῦ.*

800 *ἐν γὰρ τῇ Λήμνῳ τὸ ἐργαστήριον τοῦ Ἡφαίστου ἔνθα καὶ κρατῆρες πυρός εἰσιν.*

*ἀνακαλουμένῳ*] *παρακαλοῦντι.*

801 *ὅτε τὴν πυρὰν Ἡρακλέους ἀνῆψεν.*

803 *τοῦτ' ἐπηξίωσα δρᾶν*] *τὸ κατακαῦσαι.*

805 *λαβὼν τὰ τόξα ὁ Πύρρος ἐσιώπησεν ἀπορῶν τί ἄρα ποιήσειεν.*

812 *πρὸς τὴν ὑπόθεσιν καὶ τοῦτό φησι διὰ τὸ*

---

12 ὥστε] οἵς τε L, corr. Lasc. — 17 Il. ψ 507. — 20 cf. schol. v. 986. — 24 τοῦ κατατοξ$^{α}$εῦσαι L, τὸ κατακοῦσαι Lasc., corr. Br. — 27 ad v. 811 adscriptum in L huc retulit Lasc.

τὸν χρησμὸν εἶναι μηδέτερον αὐτῶν πορθήσειν τὸ Ἴλιον.

οὐ θέμις] οὐκ εὐσεβές.

814 ἐκεῖσε νῦν μ', ἐκεῖσε] διὰ τούτου νῦν ἔοικεν ὁ Φιλοκτήτης παραφρονεῖν ὑπὸ τῆς νόσου.

815 παραφρονεῖς] ἐκτὸς τῶν φρενῶν γέγονας.

818 πλέον φρονεῖς] ἀντὶ ὠφελιμώτερον ἐμοῦ. Fol. 89a

820 εἰπὼν ἐκοιμήθη.

821 ἔοικεν ὁ ὕπνος τὸν ἄνδρα οὐκ εἰς μακρὰν καταλήψεσθαι.

822 ὑπτιάζεται] κλίνεται ἢ ὀπίσω ῥίπτεται.

824 νεῦρον ῥαγὲν ἀπὸ τοῦ ἄκρου ποδὸς αἷμα ἀνίησιν.

827 ἀδαὴς] ἄπειρε.

ἀλγέων] ἀπὸ κοινοῦ τὸ ἀδαής.

828 εὐαὴς] εὔπνους.

829 εὐαίων] εὐμενής, καλῶς ἄγων ἡμῖν τὸν αἰῶνα.

830 ὄμμασι δ' ἀντίσχοις: κάτεχε τὸ ὁρατικόν, ὅπερ νῦν ἥπλωται καὶ διαχεῖται, τῇ τοῦ ὕπνου ἀχλύι· τοιαύτην δὲ αἴγλην, ἥτις νῦν τέταται, ἀντέχοις <εἰς> τὰ ὄμματα, λέγει δὲ τὸν ὕπνον τὸν λεγόμενον καὶ <παιῶνα> αὐτῷ παραχρῆμα ὡς ἔστιν αὐτῷ αἴγλη καὶ φῶς.

ἐναντιωθείης τοῖς ὄμμασι τοῦ φίλου καὶ μὴ ἐάσῃς αὐτὸν βλέψαι νῦν.

833 ποῦ στήσῃ τῆς γνώμης; ποίας γνώμης κρατήσεις;

834 τὰ μετὰ ταῦτα πῶς ὁρᾷς φροντίδος ἀντὶ ἐννοεῖς;

---

4 τούτου] τοῦτο (˜ ex ') L, τούτων A, correxi. — 20 εἰς addidi. — 22 παιῶνα addidi ex v. 832. — 23 φίλου] Φιλοκτήτου G, Riccard. 77; cf. schol. v. 1116.

837 *καιρός τοι πάντων γνώμαν*: ἐπὶ πάντων ἡ μετὰ εὐκαιρίας σύνεσις πολλῶν ἐπικράτειαν ἐν ἑτοίμῳ καρποῦται· ὁ δὲ νοῦς, ὁ καιρὸς ἐκεῖνος ὁ εὐκαίρως ἐπιτελούμενος πολλοῖς εὐδοξίαν σύνεγγυς παρέχει.

838 *παρὰ πόδα*] ἀντὶ τοῦ πλησίον.

*ἄρνυται*] ἀποφέρεται.

839 *ταῦτα δι' ἐπῶν*.

840 *τήνδ' ἁλίως ἔχομεν*: τὴν θήραν τῶν τόξων μάτην ἔχομεν χωρὶς τοῦ Φιλοκτήτου πλέοντες.

842 *κομπεῖν δ' ἔστ' ἀτελῆ*: ἐννοεῖν δὲ καὶ ἐπαγγέλλεσθαι ἀτέλεστα ψευδόμενον αἰσχρὸν ὄνειδος.

*ἀτελῆ*] εὐτελῆ.

845 *βαιάν μοι, βαιάν, ὦ τέκνον*: μικρὰ καὶ ἠρέμα μοι, φησί, διαλέγου μήποτε ἀκούσῃ κοιμώμενος.

847 *ὡς πάντων ἐν νόσῳ εὐδρακής*: ἀντὶ ἐλαφρὸς πρὸς τὸ ταχὺ ἀναβλέψαι καὶ ἐγερθῆναι· ἀντὶ ὁ ὕπνος ἐν τῇ νόσῳ ταχέως βλέπει· ἀντὶ ὁ νοσῶν ταχέως ἀνίσταται· λείπει δὲ τὸ ὡς· βούλεται γὰρ λέγειν ὥστε λεύσσειν ὁ ὕπνος, ὡς μὴ ἡγεῖσθαι τοῦτον ὕπνον ὑπάρχειν.

849 *μάκιστον*] μέγιστον, εὐσύμβολον, σύμφορον.

851 *ἐξίδου ὅτι πράξεις*: θεώρησον, βλέψον· πλεονάζει γὰρ ἡ ἐξ καθάπερ καὶ ἐπὶ τούτων, ἀνεπίστασο ἀντὶ ἐπίστασο καὶ ἐνδίδαξον ἀντὶ τοῦ δίδαξον.

*ὅτι*] ὅπως.

852 *ὤν*] ὄν.

*ὃν αὐδῶμαι*] δι' ὃν λέγω ἀντὶ τὸν Φιλοκτήτην. διὰ μέσου τοῦτο εἴρηκεν.

---

4 εὐδοξίαν] εὐεξίαν G. — 13 ἠρέμα] ἥμερα L, ἡμέρα l, corr. Br. — 21 σύμφορον] συμφορὰ primo L. — 22 ἐξίδου etiam in textu L. — 23 et 24 ἐξεπίστασο et ἐκδίδαξον Br.

853 *εἰ ταὐτὰν τούτῳ γνώμαν*: εἰ τὴν αὐτὴν τῷ Ὀδυσσεῖ γνώμην ἔχεις ὥστε αἴρειν τὸν Φιλοκτήτην ἐντεῦθεν.

ἔχεις] ἴσχεις.

854 *ἄπορα πυκινοῖσιν*: ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς συνιδεῖν τὸ πρακτέον· λείπει οὖν ὁ καί. γράφε πυκνοῖς ἵν' ᾖ ἐν πράγμασι πυκνοῖς συνιδεῖν τὸ πρακτέον ἄπορον.

855 *οὖρος*] ἐπιτήδειος καιρός.

856 *ἀνόμματος*] ἐστέρηται τοῦ φωτός.

858 *ἐκτέταται νύχιος*: ἐπεὶ κατὰ νύκτα καθεύδουσι παρὰ τοῦτο εἶπεν τὴν ἡμέραν νύκτα ἄγων ἀντὶ κοιμώμενος· τὸ δὲ ἑξῆς, ἐκτέταται νύχιος, οὐ χερός, οὐ ποδὸς ἄρχων ἀντὶ οὐδὲν τῶν μελῶν δυνάμενος κινεῖν οὐδὲ βλέπειν.

859 *ἀλεὴς ὕπνος ἐσθλός*: ὁ ὕπνος ὁ ὑπὸ τὴν ἀλέαν τοῦ ἡλίου. ἀλεὴς θερμὸς παρὰ τὴν ἀλέαν· Ὅμηρος

ἀλέη τε γένηται·

τοῦτο δὲ καθ' ἑαυτόν φησιν, ⟨ὁ⟩ ὕπνος σύμφορος ἡμῖν ἐστι καὶ τοῖς πράγμασιν ἀγαθός.

863 *τὸ δ' ἁλώσιμον*] τὸ δὲ ἀγρεύσιμον ὅ ἐστι Fol. 89b
⟨τὸ⟩ πέρας ἀνάκειται τῇ ἐμῇ φροντίδι.

864 ὁ πόνος ὁ μὴ φόβον ἔχων κράτιστός ἐστιν ὅ ἐστιν ὁ μὴ πρὸς κίνδυνον ὁρῶν ἀντὶ μὴ φοβηθῶμεν· πάντα γὰρ ἀνύομεν.

865 *ἀφεστάναι φρενῶν*] παραφρονεῖν.

868 *οἰκούρημα*] φυλακή, παρουσία.

---

6 *γράφε πυκνοῖσιν* Lasc. — 16 et 17 *ἀλέης* utrobique L. — 19 Od. ρ 23. *ἀλέηται* (*αι* in compendio) ut l pr. L. — 20 ὁ addiderunt G, l. — 23 *τὸ* addidi. — 26 *ἀνύσομεν* Br.

869 ἐξηύχησ'] ἐνόμισα.

870 ἐλεεινῶς: οἰκτρῶς ὑπομεῖναι.

875 ἐν εὐχερεῖ] ἐν ἐλαχίστῳ.

876 δυσοσμίας γέμων] πεπληρωμένος σὺ τῆς ἐμῆς δυσοσμίας.

880 ὅταν με ὁ κάματος ἀφῇ.

κόπος μ' ἀπαλλάξῃ] γράφε κόπου ἀπαλλαχθῶμεν.

881 ἐπίσχωμεν] πέρα κωλύσωμεν.

885 ξυμφορὰς] τύχας.

886 φίλον] τὸ αἵρεσθαι ὑπὸ τούτων.

891 πρὸ τοῦ δέοντος] πρὸ τοῦ καιροῦ.

ἱκανὸς <γὰρ> αὐτοῖς γενήσεται ὁ πόνος ἐπὶ τῇ νηὶ συνεῖναί μοι καὶ συνναίειν ἐμοί.

893 ἵστασο καὶ ἀντιλαμβάνου.

895 τοὐνθένδε] τὸ μετὰ ταῦτα.

ἀδημονεῖ ἐννοῶν ὅτι μέλλει ἐξαπατᾶν τὸν Φιλοκτήτην καὶ ἀπάγειν εἰς τὴν Ἴλιον, οὐκέτι ἐπὶ τὴν πατρίδα καθάπερ ἐπηγγέλλετο.

898 τοῦ] περὶ τίνος;

899 πάθους λέγει τῆς ἀπορίας ἀντὶ ἀπορῶν τυγχάνω.

900 οὐ δή σε] ἐρωτηματικῶς.

Fol. 90a 902 φύσιν] λείπει ἡ εἰς.

903 ἐκείνην, φησί, λέγω δυσχέρειαν προσεῖναι τῷ ἀνδρὶ τῷ ξένον τι τῆς αὐτοῦ διανοίας διαπραττομένῳ.

904 τοῦ φυτεύσαντος] τοῦ Ἀχιλλέως.

907 οὔκουν ἐν οἷς γε δρᾷς] ἐν οἷς πράττεις οὐκ ἔσῃ αἰσχρός.

---

6] ad v. 877 adscriptum in L, corr. Br. — 12 γὰρ addidit G. — 18 ἐπιγείλατο (ἐπηγγείλατο Lasc.) l. v. 524 sqq. — 22] ad v. 901 adscriptum in L, corr. Elmsl.

909 ἃ μὴ δεῖ] τὰ ἀληθῆ.

λέγων αἴσχιστ' ἐπῶν] ἀπατῶν.

910 εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν] εἰ μὴ κακῶς καὶ ἀνοήτως βουλεύομαι.

912 οὐχ ὅτι καταλείψω σε ἄχθομαι ἀλλ' ὅτι λυπηρῶς καὶ οὐ κατὰ τὴν σὴν γνώμην μέλλω σε ἄγειν· ἐπὶ Τροίαν δέ φησιν.

919 κακοῦ] τῆς νόσου.

921 πολλὴ γάρ ἐστιν ἀνάγκη ταῦτα διαπράξασθαι.

925 τῶν κρατούντων γὰρ φροντίζω μᾶλλον ἢ σοῦ διὸ οὐ δώσω σοι ταῦτα.

927 ὦ πῦρ σὺ] παρὰ τὸ ὄνομα· καλεῖται γὰρ Πύρρος.

935 οὕτως μοι πάλιν προσέχει ἀναιδῶς ὡς μὴ ἐάσων καὶ δώσων τὰ βέλη.

936 ξυνουσίαι] συνδιαγωγαί.

937 καταρρῶγες] κοιλώδεις τόποι.

938 ὑμῖν ταῦτα λέγω· οὐ γὰρ οἶδα πρὸς ἄλλον ὅν τινα ἀποδύρομαι.

939 τοῖς εἰωθόσιν] λείπει τὸ κλύειν ἐμοῦ.

944 φήνασθαι] δεῖξαι.

946 ἐναίρων νεκρὸν] σφάττων νεκρὸν κατὰ τὴν παροιμίαν.

947 ἄλλως] μάτην. Fol. 90 b

950 ἐν σαυτῷ γενοῦ] φρόνιμος ἔσο.

952 δίπυλον] δίθυρον.

953 τόξων γυμνός, τὴν διὰ τῶν τόξων μοι γινομένην οὐκ ἔχων τροφήν· ἄνευ τροφῆς οὖν ἀντὶ τῶν τόξων.

---

18 οἶδα ἄλλον πρὸς ὅν τινα Br. — 19 ἀποδύρωμαι? — 27 τόξων γυμνὸς lemma est in L, corr. Lasc.

954 αὖ θανοῦμαι] γράφε αὐανοῦμαι ἀντὶ τοῦ ξηρανθήσομαι.

957 ἐγὼ εἰωθὼς ἐσθίειν τὰ θηρία βρωθήσομαι νῦν παρ᾽ αὐτῶν.

959 ῥύσιον τίσω] ἐνέχυρον, ἀμοιβὴν ἐκτίσω· Ὅμηρος

ῥύσι᾽ ἐλαυνόμενος.

962 γνώμην μετοίσεις] μετανοήσεις.

964 προσχωρεῖν] ὑποχωρεῖν, πεισθῆναι.

968 ἐκκλέψας] ἀπατήσας.

971 τὰ αἰσχρὰ παρ᾽ ἑτέρων μαθών.

972 νῦν δὲ ἄλλοις δοὺς τὰ κακὰ οἷς εἰκὸς ἔκπλει τὰ ἐμὰ ἐμοὶ δούς.

975 οὐκ εἶ;] οὐκ ἔρχῃ;

978 πέπραμαι] πεπραγμάτευμαι.

982 οὐδ᾽ ἢν θέλῃ] ὁ Νεοπτόλεμος.

983 στελοῦσί σε] πέμψουσί σε.

984 τολμήστατε] τολμηέστατε.

986 σέλας | Ἡφαιστότευκτον] τὸ Ἡφαίστειον πῦρ· ἐν γὰρ τῇ Λήμνῳ τὰ τοῦ Ἡφαίστου ἐργαστήρια ἔνθα καὶ κρατῆρές εἰσι πυρός.

988 ἐκ τῶν σῶν] λείπει κόλπων.

Fol. 91a 997 ἀντὶ οὐ δοῦλον ἀλλ᾽ ἄριστον καὶ μετὰ ἀρίστων τὴν Τροίαν δεῖ σε πορθῆσαι· τοῦτο δὲ προτρεπτικόν.

1000 γῆς] τῆς Λήμνου.

1002 πρὸς τῇ πέτρᾳ ἐναιμάξω τὴν κεφαλήν μου ἄνωθεν πεσὼν ἀπὸ πέτρας.

---

7 Il. λ 674. — 27 ἐναιμάξω] v. de hac voce *Beitr.* p. 79; $^{\text{αἱ}}$ἐκμαξω i. e. αἱμάξω Riccard. 34. — 28 ἀπὸ] τῆς addunt G, l.

1003 *μὴ ἔστω ἐπὶ τῷ Φιλοκτήτῃ ἡ ἐξουσία τοῦ κατακρημνίζεσθαι.*

1004 *ὦ χεῖρες] δεδεμένος φησίν.*

1005 *συνθηρώμεναι] ἁλοῦσαι καὶ συλλαμβανόμεναι.*

1006 *ὦ δόλιε Ὀδυσσεῦ.*

1008 *πρόβλημα] πρὸ σοῦ πέμψας τὸν Νεοπτόλεμον.*

1014 *ἀφυῆ] ἄκακον ἀπὸ φύσεως.*

1016 *νοεῖς] διανοῇ.*

1017 *προὐβάλου] ἔρριψας.*

1018 *ἐν ζῶσιν νεκρὸν] ἤτοι ὅτι κοιμώμενον αὐτὸν εἴασεν ἢ διὰ τὸ πάθος.*

1025 *κλοπῇ] ἀνάγκῃ· καὶ Ὅμηρος*

*κλέπτε νόῳ·*

*ζυγεὶς δὲ ὑποταγείς· ὁ δὲ νοῦς, καίτοι σὺ μὲν ἀναγκασθεὶς στρατεύῃ· προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι Παλαμήδης ἤλεγξεν.*

1028 *ὡς σὺ φὴς οἱ Ἀτρεῖδαί με ἐξέβαλον, ὡς δέ φασιν ἐκεῖνοι σύ. σὺ μέν, φησίν, ἐκείνους αἰτιᾷ ἐκεῖνοι δὲ σέ.*

1033 *τοῦτο γὰρ προφασισαμένου Ὀδυσσέως, ὅτι* Fol. 91b
*θῦσαι οὐκ ἔστι τούτου ἐπιστενάζοντος, ἐξέθηκαν αὐτόν.*

1036 *εἰ φροντίς ἐστι τῆς δίκης τοῖς θεοῖς.*

1039 *κέντρον] ἐρεθισμός.*

1040 *θεοί τ' ἐπόψιοι] οἱ ἐφορῶντές με δυστυχοῦντα.*

1045 *βαρὺς] βαρὺς λόγοις.*

---

14 Il. α 132. — 16 *στρατεύῃ] ἐστρατεύου? προσποιούμενον γὰρ κ. ἑ.]* carm. Cypr. in Procli Chrestomath. I, Kinkel. fragm. p. 18. — 27 *λόγοις] λόγος* L, correxi.

1046 κοὐχ ὑπείκουσαν κακοῖς] κοὐκ ἀναδυομένην ἐν τοῖς κακοῖς.

1048 εἴ μοι παρείκοι] εἰ καιρὸς ἐπιτρέψειέ μοι.

νῦν δ' ἑνὸς κρατῶ λόγου] νῦν δὲ σιωπῶ· οἶδα γὰρ τοῦτο ποιεῖν ὅπου δεῖ.

1049 οὗ: ὅπου τοιούτων δεῖ τῶν σιωπώντων.

1050 κρίσις] δοκιμασία, ἐξέτασις.

1051 μᾶλλον — εὐσεβῆ] εὐσεβέστερον.

1052 χρήζων] γράφε κρείσσων.

1056 οὐ μόνος Τεῦκρός ἐστι τοξότης ἀλλὰ κἀγὼ ὑπολαμβάνω ἐμαυτὸν τούτων ἔμπειρον εἶναι, οὐχ ἧττον σοῦ· Ὅμηρος

εὖ μὲν τόξον οἶδα ἐύξοον ἀμφαφάασθαι.

1059 τούτων] τῶν τόξων.

1060 τί δῆτα σοῦ δεῖ;] τίς σοῦ χρεία;

χαῖρε τὴν Λῆμνον πατῶν] ἥδου τῇ διατριβῇ τῆς Λήμνου.

1067 προσφθεγκτὸς] προσφωνηθῆναι ἄξιος.

1070 ἆρα καὶ ὑμεῖς μιμεῖσθε τούτους καὶ ἀνηλεεῖς γενήσεσθε πρὸς ἐμέ;

1074 τὸ ἑξῆς, ἀκούσομαι πρὸς τοῦδε ὥς εἰμι οἴκτου μεστὸς οἷον καταγνωσθήσομαι ὡς ἥττων οἴκτου.

1076 τά τ' ἐκ νεὼς] τὰ ἐπὶ τῆς νεώς.

1077 στείλωσι] κοσμήσωσι.

1078 ἐν τούτῳ] ἐν τοσούτῳ.

1079 νὼ] ἡμεῖς.

1080 ὁρμᾶσθαι ταχεῖς] λείπει γίνεσθε.

Fol. 92a 1081 ὦ κοίλας πέτρας: ὦ σπήλαιον θερμὸν διὰ

---

13 Od. ϑ 215. — 15 τίϲ σου, ϲ serius addito L. — 19 μιμήσεσθε?

*τὸν ἥλιον καὶ διὰ τὸ ψῦχος παγετῶδες· ἢ οὕτως, ἐν θέρει ψυχρόν, ἐν δὲ χειμῶνι θερμὸν ἀντὶ ἐπιτήδειον εἰς χειμῶνα καὶ θέρος· γύαλον δὲ ἀντὶ τοῦ κεῦθος· κυρίως δὲ γύαλα τὰ κοῖλα λέγεται, ἀλλ' ἐὰν οὕτω μεταφράσῃς ἀπίθανον τὸ κοῖλον κοίλωμα διὸ δὴ τὸ κεῦθος ἢ ἀντὶ τὸ ἄλσος μεταφράζομεν.*

1084 *ἀλλά μοι | καὶ θνήσκοντι συνοίσῃ: ἀντὶ καὶ ἀπολλυμένῳ μοι σύμφορον ἔσῃ καὶ ὠφέλιμον καὶ δέξῃ με ἀποθανόντα· ἢ οὕτω, σὺν ἐμοὶ ἔσῃ καὶ ὄψει με ἀποθανόντα. ὑπερβολικῶς, οἷον καὶ μετὰ θάνατον συνελεύσῃ μοι καὶ οὐ καταλείψεις με.*

1089 *τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ: τί ἄρα τρόφιμόν μοι καθ' ἡμέραν ἔσται; οὐ γὰρ ἐπικρατῶ ἐμαυτῷ· ἢ οὐ γὰρ ἔτι ἔχω ἐλπίδα.*

1091 *σιτονόμου] σῖτον νέμοντος, τροφέως.*

*πόθεν ἐλπίδος;] ἀπὸ ποίας ἐλπίδος;*

1092 *εἴθ' αἰθέρος ἄνω: τὸ ἑξῆς, εἴθε αἰθέρος ἄνω ἕλωσί με ὀξύτονοι δρομάδες διὰ πνεύματος· τινὲς δὲ οὕτω, μετὰ ὀξυτόνου πνεύματος ἕλωσί με· ὀξύτονον δὲ λέγει πνεῦμα ἀπὸ τοῦ ὀξυτόνως βοᾶν. γράφε δρομάδες αἱ καταιγίδες· τινὲς δὲ πτωχάδες ἵνα τὰς Ἁρπυίας σημαίνῃ διὰ τὸ ἀεὶ πεινῆν.*

1093 *πτωκάδες: αἱ Ἅρπυιαι ἐπιθετικῶς διὰ τὸ ἐπεμπίπτειν ἢ διὰ τὴν φωνήν· εἰ δὲ γράφεται πτωχάδες αἱ ἀεὶ πεινῶσαι· τοῦτο γὰρ πάσχουσιν οἱ πτωχοί.*

---

1 *καὶ*] *ἢ* L, corr. Br. — 3 *κεῦθος*] Il. *χ* 482. Antig. v. 818. — 14 *ἐμαυτῷ*] *ἐμαυτὸν* L, correxi; sententia est: *οὐ γὰρ ἐπικρατῶ τοῦ τροφίμου ἐμαυτῷ* (= *τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ ἔσται;*); *τῆς ἀναγκαίου τροφῆς ἐπικρατεῖν* legitur apud Thucydid. I, 2, 2; male Hermannus scripserat *οὐ γὰρ ἔτι κρατῶ ἐμαυτοῦ.* — 17 et 23] inverso ordine habet L.

γράφεται πτωμάδες, πτωκάδες, πτωχάδες [πρωτάδες], δρομάδες.

1095 σύ τοι σύ τοι κατηξίωσας: σὺ σαυτῷ περιεποίησας τὴν νόσον, σὺ σαυτῷ τούτων πρόξενος γέγονας, ὦ δυστυχέστατε, σὺ σαυτῷ κατηξίωσας καὶ οὐκ ἀπό τινος ταύτῃ τῇ τύχῃ ἐνέχῃ, ἀπὸ μείζονος σοῦ, διὸ μηδένα ἄλλον αἰτιῶ ἀλλὰ σαυτόν· ἐξῆν γάρ σοι ἀκολουθήσαντι τὰ κακὰ διαφυγεῖν.

1097 ἔχῃ] συνέχῃ.

1099 εὖτέ γε παρὸν φρονῆσαι: ὅτε γε παρόντος σοι φρονῆσαι τὸ λυσιτελὲς <ἑλέσθαι> ἀπὸ πλείονος δαίμονος τὸ κάκιον εἵλου, τὸ μὴ ἐλθεῖν· πλείονος δὲ δαίμονος λέγει τοῦ λυσιτελεστέρου καὶ συμφόρου.

1100 τοῦ λῴονος δαίμονος] τοῦ συμφέροντος. λείπει ἡ ἀντί.

1103 λωβατὸς] ἐπίπονος.

ὃς ἤδη μετ' οὐδενός: τὸ ἑξῆς, ὃς ἤδη ἐνθάδε ὀλοῦμαι μετ' οὐδενὸς ὕστερον ἀνδρὸς εἰσοπίσω τάλας ναίων· ὁ δὲ νοῦς, ἄρα ἐγὼ δύστηνος ἐνταῦθα ἀπολοῦμαι ἀνθρώπων κεχωρισμένος;

1108 οὐ φορβὰν ἔτι προσφέρων: ἀντὶ προσφερόμενος· ἐνίοτε δὲ ἔμπαλίν φησι διακονούμενος ἀντὶ τοῦ διακονῶν καὶ στιβαδοποιούμενος ἀντὶ στιβάδα ποιῶν.

1111 ἀλλά μοι ἄσκοπα: ἀπροσδόκητα, δόλια, ἃ οὐκ ἔστι προσκέψασθαι· γράφεται δὲ καὶ ἄψοφα ἀπὸ τοῦ μὴ ψοφεῖν ἀντὶ λαθραῖα· ἀπὸ μεταφορᾶς τῶν

---

1 πρωτάδες inclusi; πλωάδες coll. Apollon. Rhod. II, 1055 et Hesych. s. v. Br., πλωτάδες Gedikius, πτωάδες Vossius. — 11 φρονῆσαι] σωφρονῆσαι L, corr. Herm. ἑλέσθαι addidi. — 11 et 12 πλείονος] λῴονος utrobique Lasc. — 22 διακονούμενος] Philoct. v. 287. — 23 στιβαδοποιούμενος] Nauck fragm. 989. στιβαδοποιῶν Lasc. — 26 ἀπὸ μεταφορᾶς] pertinet ad ὑπέδυ.

κολυμβώντων· κρυπτὰ δὲ ἔπη φησὶ τὰ τοῦ Ὀδυσσέως. εἰς τὸ αὐτό: ἀλλά μοι τὰ ἀφανῆ καὶ κρυπτὰ ⟨ἔπη⟩ δολίας φρενὸς ὑπέδυ με· τὸ δὲ ἑξῆς, ἀλλά μοι ὑπέδυ ἄσκοπα κρυπτά τε ἔπη δολερᾶς φρενός.

1113 ἰδοίμαν δέ νιν: ὡς κατευχόμενος, γένοιτο δέ μοι τὸν παραίτιον τούτων ἴσον χρόνον δυστυχῆσαι τῆς ἐμῆς λαχόντα ἀνίας· δεῖ δὲ καὶ κατὰ τὸ πληθυντικὸν ἀκούεσθαι ἐμὰς λαχόντ' ἀνίας ἀλλὰ τῆς ποιητικωτέρας ἡ τοιαύτη φράσις.

1116 πότμος σε δαιμόνων: λείπει ἡ ἐξ, ἐκ θεῶν γὰρ τύχη τις τοῦτό ⟨σοι⟩ κεκλήρωκεν καὶ οὐχ ὑπ' ἐμοῦ δεδόλωσαι· κατὰ κοινοῦ τὸ ἔσχεν, τὸ δὲ ἑξῆς, πότμος σε δαιμόνων τάδ' ἔσχεν οὐδέ σε δόλος ἔσχεν ὑπὸ χειρὸς ἐμᾶς· ὁ δὲ νοῦς, παῦσαι τῶν καταρῶν τούτων, ὦ φίλε, μὴ διὰ τούτων κτήσῃ ἡμᾶς ἐχθρούς· θεὸς γὰρ τῆς δυστυχίας ταύτης παραίτιος, οὐχ ἡμεῖς γεγόναμεν οὔτε δόλῳ ὑπεισελθόντες οὔτε ἄλλῳ τινὶ πράγματι.

1120 ἀρὰν ἀρὰν ἐπ' ἄλλοις: δεῖ ἀκούεσθαι ἐπὶ τῶν μάτην καταρωμένων, σαυτῷ γὰρ ἐγένου αἴτιος, δεῖ δὲ καὶ οὕτω, καταρῶ τοῖς ἄλλοις καὶ μὴ ἡμῖν.

1121 καὶ γὰρ ἐμοὶ τοῦτο μέλει: μέλει μοι τὸ παραινέσαι σοι ἵνα μὴ ἀπώσῃ τὴν φιλίαν οἷον οὐ θέλω σε ἐχθρὸν ἡμῖν καταστῆσαι· ἢ ὡς παραινοῦντές φασι, μὴ ἀπώσῃ τὴν φιλίαν ἡμῶν.

---

2 ἔπη addidi. — 7 δεῖ] δύναται Elmsl. — 8 ποιητικωτέρας] πολιτικωτέρας M. Schmidt. Didym. p. 94; cf. Schaefer. ad Dionys. de composit. verb. p. 6, Bekkeri Anecd. p. 15, 11, schol. Electr. v. 87. — 11 σοι add. Br. — 15 φίλε] Φιλοκτῆτα Lasc.; cf. schol. v. 830. — 16 ταύτης οὐχ ἡ (deleta) παραίτιος κ. ἑ. L. — 20 μάτην] interpretatio pertinet ad neutrum ἄλλοις. — 24 ἐχθροὺς L, corr. Lasc.

1122 μὴ φιλότητ' ἀπώσῃ] λείπει ἵνα.

φιλότητ'] ἣν ἔχομεν πρὸς σέ.

Fol. 92b 1125 γελᾷ] ὁ Ὀδυσσεύς.

πάλλων] τὰ τόξα φησίν.

1129 ἐκβεβιασμένον] ἐξηρπασμένον.

1131 τὸν Ἡράκλειον | ἄθλιον: ἀντὶ ἐμὲ τὸν τοῦ Ἡρακλέους διάδοχον· ἢ ἐμὲ τὸν ἐπὶ τῷ Ἡρακλεῖ ἆθλον ποιήσαντα τὴν πυρὰν καὶ ὑφάψαντα αὐτήν.

ἑαυτόν φησιν.

1132 ἄθλιον] γράφε ἆθλον.

1134 μεταλλαγᾷ] μεταβολῇ.

1135 ἐρέσσῃ] στρέφῃ· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων.

1136 ὁρῶν] ἀντὶ τοῦ βλέπον, σύ, ὦ τόξον.

1138 μυρί'] πλήθη κακῶν.

ἀνατέλλονθ'] ἐσόμενα.

1140 ἀνδρός τοι τὸ μὲν εὖ δίκαιον εἰπεῖν: ἀγαθοῦ ἀνδρός ἐστι τὸ ἀληθὲς ἐν καιρῷ λέγειν (δίκαιον γὰρ νῦν φησι τὸ ἀληθές, εὖ δὲ τὸ ἐν καιρῷ), ὀφείλει δὲ καὶ ὁ ἀκούων μὴ ἐκφαυλίζειν τὰ λεγόμενα· τοῦτο δέ φησιν ὅτι ὁ μὲν Νεοπτόλεμος τὸ ἀληθὲς εἶπεν ὁ δὲ Φιλοκτήτης ἐξευτέλισεν. εἰς τὸ αὐτό: ἀγαθοῦ μὲν ἀνδρός ἐστι τὸ δίκαιον εἰπεῖν εἰπόντα δὲ μὴ φθονεῖσθαι ὅτι οὐκ ἔδει σε τῷ Νεοπτολέμῳ φθονεῖν εἰπόντι τὸ δίκαιον· κατὰ κοινοῦ δὲ τὸ δίκαιον, ἀγαθοῦ ἀνδρός ἐστι τὸ λέγειν τὸ δίκαιον, δίκαιον δὲ καὶ σὲ ὁμολογεῖν ὅτι εὖ πέπρακται, ἀκούοντα δὲ τούτων μὴ φθονερόν τι καὶ ὀδυνηρὸν ἐπιφθέγξασθαι.

---

14 βλέπων L, correxi.

1141 *μὴ φθονερὰν | ἐξῶσαι γλώσσας ὀδύναν*] μὴ πικραίνεσθαι.

1143 *εἷς ἀπὸ πολλῶν*] εἷς ἀπὸ πολλῶν συμμάχων.

1144 *τοῦδ'*] τοῦ Ὀδυσσέως.

τὸ ἑξῆς, τοῦδ' ἐφημοσύνᾳ ἤνυσεν κοινὰν ἐς φίλους ἀρωγάν.

1146 *ὦ πτηναὶ θῆραι*] ἀντὶ ὦ ἄγραι· ἀγρεύει γὰρ καὶ πτηνά.

*χαροπῶν*] φοβερῶν.

1149 *φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων*: ἀντὶ οὐκέτι φεύξεσθέ με, οὐκέτι μετὰ φυγῆς καὶ φόβου προσπελάσετέ μοι.

1153 *ἀλλ' ἀνέδην ὅδε χῶρος*: ἐπ' ἐξουσίας ὁ τόπος ὑμῖν οὗτος ἀνεῖται ἀντὶ τοῦ ἀδείᾳ ὑπὸ τῶν θηρῶν ὁ τόπος κατασχεθήσεται.

*ἀνέδην*] ἀνειμένος καὶ ἡπλωμένος.

*ἐρύκεται*] κατέχεται.

1154 *φοβητὸς*] φόβον ἐμποιῶν.

1155 *ἕρπετε*] ἀντὶ ἥκετε.

1157 *αἰόλας*] ποικίλης διὰ τὰ τραύματα.

1160 *τίς ὧδ' ἐν αὔραις τρέφεται*: τίς τρέφεται ἐξ ἀνέμων μηδενὸς τῶν ἐκ γῆς τροφίμων εὐπορῶν;

1161 *κρατύνων*] ἐγκρατὴς ὤν, εὐπορῶν.

1163 *εἴ τι σέβῃ, ξένον πέλασσον*: ἑαυτὸν δέ φησιν ὁ χορός, ὅτι ἐμοὶ τῷ ξένῳ μετ' εὐνοίας πρόσελθε ἀντὶ φίλος ἡμῖν γενοῦ.

1165 *ἀλλὰ γνῶθ', εὖ γνῶθι*: οὕτω τινὲς στίζουσιν, ἀλλὰ γνῶθ', εὖ γνῶθι οἷον τὰ ὄντα σοι

---

7 ἀγρεύεται Dind. — 11 προσπελάζετε L, corr. G. — 17 κατέχετε (αι superscr.), αι a m. rec. L.

μάνθανε, τὰ περὶ τῆς νόσου· ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ δέ, γνῶθι δὲ ἵν' ᾖ οὕτω, πρὸς θεῶν εἴ τι σέβῃ ξένον πελάταν πέλασον πάσῃ εὐνοίᾳ, γνῶθι ⟨δὲ⟩ ὅτι κῆρα τήνδ' ἀποφυγεῖν σοι πάρεστιν εἰ πεισθείης ἡμῖν ὅ ἐστι τὴν νόσον· οὗτος δὲ ταῦτα λεγόντων συνίησιν ὅτι παραινοῦσιν αὐτῷ εἰς Ἴλιον ἐλθεῖν πρὸς ὃ ἀνακράζει πάλιν πάλιν μοι.

1166 κῆρα] τὴν νόσον.

ἀποφεύγειν] λείπει πάρεστιν.

1167 οἰκτρὰ γὰρ βόσκειν] χαλεπὴ ἡ νόσος τῷ κατεσθίειν.

ἀδαὴς] ἀδύνατος ἐνταῦθα ἢ ἄγνωστος πρὸς τὸ ὀχεῖσθαι.

1169 πάλιν πάλιν: πάλιν τῶν τῆς Ἰλίου με τόπων ἀνέμνησας ἢ τῶν οἰκείων κακῶν· ὑγιῶς δὲ ἔχει περιττευούσης τῆς ἐν προθέσεως.

1170 ὦ|λῷστε τῶν πρὶν ἐντόπων: ὦ βέλτιστε τῶν πλησιασάντων μοι πάλαι ἢ τῶν περὶ Ὀδυσσέα.

ὦ λῷστε] ὦ βέλτιστε.

Fol. 93a 1174 τὰν ἐμοὶ στυγερὰν] λείπει ἡ εἰς, εἰς τὴν μισουμένην μοι.

1176 κράτιστον] σύμφορον.

1178 ἐμοὶ βουλομένῳ ἡδέως ἀποπλεῦσαι κελεύεις.

1180 ναὸς ἵν' ἡμῖν τέτακται] ὅπου ἡμῖν ἀφῖκται ἡ ναῦς· ἐπὶ τῆς ναὸς ἀντὶ εἰς τὴν ναῦν.

1181 μή, πρὸς ἀραίου: ἀρὰ ἡ εὐχή· ἀραῖος οὖν ᾧ πάντες προσευχόμεθα ἢ ὃν ἐπικαλούμεθα ἀρώμενοι·

---

3 δὲ add. Br. — 7 μοι] cf. schol. v. 1169. πάλιν παλαιὸν ἄλγημα G. — 10 τῷ] τὸ L, corr. Dind. — 11 κατεσθίειν] τὴν σάρκα addit G. — 16 τῆς ἐν] sc. in vocabulo ἐντόπων. — 18 πάλαι] πρὶν Lasc.

*ὥσπερ δὲ ἱκεσίου λέγουσι τοῦ τοὺς ἱκέτας ἐποπτεύοντος οὕτως ἀραίου τοῦ τοὺς ἀρωμένους ἐπισκοποῦντος.*

1182 *ἔλθῃς] ἀντὶ ἀπέλθῃς.*

*μετρίαζε] ἡσύχαζε.*

1189 *τεύξω] ποιήσω.*

*μετόπιν] μετὰ ταῦτα, μετόπισθεν.*

1190 *ἐπήλυδες] αὐτόματοι.*

1191 *τί πράξοντες ἐναντίᾳ γνώμῃ ἕτερον παρὰ τὸ πρότερον;*

1194 *χειμερίῳ | λύπᾳ] ταραχώδει πάθει, μεταφορικῶς· οὐκ ἔστι, φησί, μεμπτὸν τῷ δυστυχοῦντι καὶ παραφθέγγεσθαι.*

1197 *τοῦτο γίνωσκε, ὅτι οὐκ ἔρχομαι οὐδ' εἰ αὐτὸς ὁ Ζεὺς μετέλθοι με ταῖς βρονταῖς τουτέστιν οὐδ' εἰ κεραυνοῖ με ὁ Ζεὺς ἂν μὴ ἔλθω.*

1199 *βρονταῖς αὐταῖς] γράφεται καὶ αὐγαῖς, ταῖς βροντῶν αὐγαῖς ταῖς κεραυνίαις· ἔστι μέντοι λαβεῖν καὶ βροντᾶς ἀντὶ τοῦ βροντήσας καθάπερ καὶ ἐν Ὑδροφόροις τὸν Διόνυσον εἶπεν Βακχᾶν ἀντὶ τοῦ Βακχευτάν.*

1202 *ἄρθρον] μέλος.*

1205 *ἢ γέννυν] ἀντὶ τοῦ πέλεκυν ἢ γενῆδα ἢ ἀξίνην.*

1206 *παλάμην πρᾶξιν ὅθεν καὶ παλαμᾶσθαι· ἢ τέχνην.*

1208 *φονᾷ] θανατᾷ, θανάτου ἐπιθυμεῖ.*

1215 *ὅστίς ποτε καταλιπών σε ἐπὶ τὸ βοηθεῖν τοῖς Ἕλλησιν οὐκέτι οὐδέν εἰμι.*

---

18 *βροντήσας καὶ ε και καθάπερ καὶ ἐν* (*καὶ ε καὶ* deleta) L. *ἐν Ὑδροφόροις*] fr. 608. — 25 *θανατοι* (superscr. ·ᾶ·) L. — 26 *καταλιπών σε* ⟨*ἔβην*⟩ *ἐπὶ τὸ*?

λιβάδ'] τὴν τοῦ ἐπιχωρίου ποταμοῦ.

1218 ἐντεῦθεν διπλοῦν ἐστι τὸ ἐπεισόδιον.

ὁμοῦ] ἐγγύς.

Fol. 93b 1219 στείχων ἂν ἦν σοι] ἐπορευόμην ἄν· τὸ δὲ σοι παρέλκει.

1222 οὐκ ἂν] οὐδ' αὖ.

ἥντιν' αὖ παλίντροπος κ. ἑ.] ἀντὶ εἰς ποῖον τόπον ἀπέρχῃ· τοῦτο δὲ ὁ Νεοπτόλεμος ἀποδοῦναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ ἐπιπλήσσεται ὑπὸ τοῦ Ὀδυσσέως.

παλίντροπος] ἐξ ὑποστροφῆς.

1238 ἀναπολεῖν] τὰ αὐτὰ λέγειν· ἀπὸ τῶν δεύτερον ἀναπολούντων τὴν ἠροτριαμένην γῆν.

1252 ἀλλ' οὐδὲ ⟨σοὶ⟩ πεισθήσομαι.

1256 κοὐ μέλλοντ' ἔτι] οὐ βραδύνοντα.

1257 σ' ἐάσω] οὐ πολεμήσω.

1262 ἀμείψας] καταλιπών.

Fol. 94a 1270 μεταγνῶναι] μετανοῆσαι.

1272 ἀτηρὸς] βλαβερὸς παρὰ τὴν ἄτην.

1273 ἀλλ' οὔ τι μὴν νῦν] δόλιος φανοῦμαι.

1275 μὴ λέξῃς πέρα] μὴ περαιτέρω εἴπῃς· ὅσα γὰρ ἂν εἴπῃς μάταια λέξεις.

1277 πέρα] περαιτέρω.

1288 δολούμεθα] ἀπατώμεθα.

1293 μαρτύρομαι τοὺς θεοὺς ὅτι ὃ ποιῶ εἰς χάριν καὶ σωτηρίαν ποιῶ τῶν Ἀτρειδῶν.

1298 οὐκ εἶπεν τὸ θέλῃ ἵνα μὴ δόξῃ συμψηφίσασθαι αὐτοῦ τῷ βουλήματι.

---

2 „eo spectat, quod in hac scena non, ut plerumque, una sed duae personae adveniunt" Herm. — 13 πολούντων Br. ἠροτριωμένην G. — 14 σοὶ addidi. — 22 ἂν] ἐὰν L, corr. Lasc.

1305 ἀλλ' οὖν τοσοῦτον: ἀλλ' οὐ γενναῖον ἄνδρα φονεύσω· πάντες γὰρ οἱ κήρυκες τῶν Ἑλλήνων ἀσθενεῖς εἰσι καὶ ἡ ἀνδρεία αὐτῶν ἄχρι τοῦ λέγειν. Fol. 94b

τοὺς πρώτους στρατοῦ] τοὺς βασιλεῖς.

1306 ψευδοκήρυκας] ψευδοπρεσβευτάς.

ψευδῶς κηρυσσομένους, ἐγκωμιαζομένους.

1312 μετὰ ζώντων] ἐν ζῶσιν.

1313 ἤκου' ἄριστα] καλῶς ἤκουσ'.

1314 εὐλογοῦντα] εὐφημοῦντα.

1316 πᾶς ἄνθρωπος ἐκ θεοῦ πάσχων ἀνέγκλητός ἐστιν, ὅσοι δὲ διὰ τὴν ἰδίαν προαίρεσιν δυστυχοῦσιν ὥσπερ σὺ οὐδὲ ἐλέους ἄξιοι τυγχάνουσιν.

1321 σύμβουλον] συμβουλίαν.

1322 εὐνοίᾳ] σοί.

1325 γράφου φρενῶν ἔσω] παρὰ τὸ Ὁμηρικὸν

σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.

1326 σύ, ὦ Φιλοκτῆτα, νοσεῖς ἐκ θείας προνοίας πλησίον ἀπελθὼν τοῦ ὄφεως τοῦ φυλάττοντος τὸ ἱερὸν τῆς Ἀθηνᾶς καὶ οὐκ ἔστιν ἴασις εἰ μὴ ἐκ τῶν Ἀσκληπιαδῶν.

1327 πλησίον ἐλθὼν τοῦ ὄφεως τοῦ τῆς νήσου τῆς Χρύσης φύλακος.

ἀκαλυφῆ] ἀστέγαστον.

1329 παῦλαν] ἀνάπαυσιν, θεραπείαν.

1331 ταύτῃ μὲν ἀνατέλλῃ ταύτῃ δὲ δύνῃ ὅ ἐστι διὰ παντός.

1334 μαλαχθῇς] παύσῃ.

---

1 τοσοῦτος L, corr. l. — 10 ἐκ θεῶν l. — 16 Il. α 297, al. — 17 σὺ γὰρ Φιλοκτῆτα l. — 19 ἔστιν ⟨σοι⟩ Br. ἔσται? — 22 χρυσῆς (ut in textu) L, corr. G.

1336 ὡς] ἀντὶ ὅπως.

1343 συγχώρει θέλων] σὺν ἡμῖν χώρει ἐθελοντής.

1344 καλὸν κτῆμα ὠφεληθῆναί σε κλέος κτώμενον ἐκ τῆς πορθήσεως τῆς Ἰλίου καὶ θεραπευόμενον.

ἡ 'πίκτησις] ἡ κτῆσις τῆς δόξης.

1345 παιωνίας] ἰασίμους, ὑγιαστικάς, θεραπευτικάς.

Fol. 95 a 1353 τῷ προσήγορος;] ἀντὶ τίς με προσαγορεύσει;

1354 τὰ πάντ' ἰδόντες] τὰ περὶ ἐμὲ πάθη εἰδότες ἐνιαυτοί, τοῦ αἰῶνος χρόνοι.

1355 ἐξανασχήσεσθε] ἀνέξεσθε.

1357 τῷ πανώλει] τῷ ἀξίῳ ἀπολωλέναι.

1358 οὐ λυπεῖ με τὰ φθάσαντα ἀλλὰ διὰ τὰ μέλλοντα δυσφορῶ· οἱ γὰρ ἔχοντες φαύλην τὴν γνώμην ἀκόλουθα τῷ λογισμῷ διαπράττονται.

1362 σοῦ δ' ἔγωγε θαυμάσας ἔχω] θαυμάζω σου καὶ καταγινώσκω σου.

1371 πατρὸς] τοῦ Ποίαντος.

1374 θεοῖς τε πιστεύσαντα] διὰ τὴν Ἑλένου μαντείαν.

1377 τῷδε δυστήνῳ ποδὶ] χωλὸς ὤν.

1378 ἔμπυον] δίυγρον διὰ τὸ ἕλκος, πύου πεπληρωμένην ὅ ἐστι σήψεως· ὁ δὲ νοῦς, ἀλλ' οὐ πρὸς ἐκείνους ἄπει ἀλλὰ πρὸς τοὺς θεραπεύσοντάς σε.

1385 σοί που φίλος γ' ὢν] ὑπὲρ τοῦ σοὶ συμφέροντος.

1387 μάνθανε, φησί, μὴ ἐν τοῖς κακοῖς ἐπαίρεσθαι.

κακοῖς] λείπει ἡ ἐπί.

1389 μανθάνειν] ἐννοεῖν.

1392 ἑλεῖν] ἰδεῖν.

---

8 ad ταῦτ' v. 1355 adscriptum in L, corr. Lasc. — 23 θεραπεύσαντας L, θεραπεύοντας l, corr. G.

1401 λόγοις] γράφε γόοις· πολλὰ διὰ Τροίαν πέ- Fol. 95b
πονθα, φησίν.

1402 στείχωμεν] ἐπὶ τὴν πατρίδα· ἀπατᾷ δὲ καὶ θέλει ἆξαι εἰς τὴν Τροίαν.

1404 πῶς, φησίν, ἀναίτιος γένωμαι τοῖς Ἕλλησιν;

1405 χώραν τὴν ἐμὴν] τὴν Σκῦρον.

1406 τίνα προσωφέλησιν ἔρξεις;] ὠφελήσεις.

1411 ὑπολάμβανε δρᾶν τὸν Ἡρακλέα.

1415 βουλεύματα] πεπρωμένα.

1423 σὺν τῷδ' ἀνδρὶ] τῷ Νεοπτολέμῳ.

1425 ἐκκριθεὶς] νομισθείς.

1430 πλάκα] τὴν πέτραν.

1431 στρατοῦ] ἐξ Ἀχαιικοῦ.

1432 πρὸς πυρὰν ἐμὴν] τὴν ἐπὶ τῇ Οἴτῃ.
ἀντὶ ἐκ τῶν ἀριστείων κἀμὲ τίμησον.

1441 εὐσεβεῖν τὰ πρὸς θεοὺς] αἰνίττεται τοῦτο Fol. 96a
εἰς Νεοπτόλεμον· ἐν γὰρ τῇ Ἰλίου ἁλώσει ἀπέκτεινε τὸν Πρίαμον προσφυγόντα τῷ βωμῷ τοῦ Ἑρκείου Διός.

1448 τίθεμαι] συγκατατίθεμαι.

1452 στείχων χώραν καλέσω] ἀσπάσομαι ἀναχωρῶν.

1453 ξύμφρουρον ἐμοὶ] τὸ φρουρῆσάν με καὶ φυλάξαν.

1455 ἄρσην] ἰσχυρός, ἔντονος.

1459 δύναται πάντα τὰ ὄρη Ἕρμαια καλεῖσθαι ὅτι νόμιος ὁ θεὸς καὶ ὄρειος ὁ Ἑρμῆς, ἔστι δὲ καὶ Ἕρμαιον οὕτως ἐν Λήμνῳ καλούμενον· ἐμοὶ δέ, φησί, πολλὰ βοῶντι καὶ τὸ Ἕρμαιον ὄρος ἀντεφθέγξατο.

---

16 αἰνίττεται τοῦτο κ. ἑ.] „eius autem sceleris poenaeque insecutae, Neoptolemo quoque postea ad aram Apollinis obtruncato, magna fama inter Graecos erat et proverbium inde ductum Νεοπτολέμειος τίσις“ Herm. — 18 ἑρκίου L, corr. Br.

1460 *ἀντίτυπον*] *ἀμοιβαῖον, ἀντίμιμον.*

1461 *Λύκιόν τε ποτὸν*] *ἢ οὕτω καλουμένη κρήνη ἐν Λήμνῳ Λυκίου Ἀπόλλωνος ἢ οἷον ἐν ἐρημίᾳ ὑπὸ λύκων πινόμενον.*

1462 *οὐ δὴ | δόξης ποτὲ τῆσδ' ἐπιβάντες*] *τῆς οἰήσεως ἀντὶ τοῦ οὐδέποτε τοῦτο οἰηθέντες οὐδ' ἐλπίσαντες τελειοῦσθαι ὥστε ἀπελθεῖν εἰς Τροίαν.*

1467 *φίλων*] *ἢ τοῦ Ἡρακλέους ἢ τοῦ Νεοπτολέμου.*

1468 *δαίμων*] *τινὲς τὸν Ἡρακλέα, ἔνιοι τὴν Τύχην.*

---